ὅσον εἰς αὐτὸν ἦκε, τὴν τῶν ἀπειλουμένων κακῶν προσδολὴν ἀπώσασθαι, μακρὰν τὴν εἰς Μόσχους ἐπαναιρεῖται ἀποδημίαν. Οὐδὲ γὰρ ἐν τύχης ἀνωμαλίᾳ καὶ ἀνατροπῇ τῆς πατρίδος προσβλέπων ἠνείχετο τοὺς ἀμαυρώσαντας μὲν τὴν λαμπρότητα τοῦ ἑλληνικοῦ γένους, ἀκρωτηριασαμένους δὲ τὸ τῶν χριστιανῶν σύστημα, μή τι γε συζῆν ἐκείνοις καὶ συνδιαιτᾶσθαι. Σκάφους δὲ ἐπιβὰς τῶν μάλιστα ταχυναυτούντων καὶ ἐν ὀλίγῳ χρόνῳ τὰς ἡρακλείους στήλας ἐκπεραιούμενος, μέχρι τῆς χώρας τῶν Βέλγων εὐτυχῶς διέπλευσε τὸν ὠκεανόν. Ἐνθένδε πάλιν ποιούμενος τὴν ἀναγωγήν, σύρτει τινὶ προσαραχθείσης τῆς νηὸς, ἐναυάγησεν οὐ μακρὰν ἀπὸ τῶν λιμένων καὶ πάντα σχεδὸν τὰ πρὸς τὸν κατόπλουν χρήσιμα ἀπέβαλεν. Ὥσπερ οὖν πολλάκις ἐπέρχεταί μοι θρηνεῖν τοῦ ἀνδρὸς τὸ δυστύχημα, οὐκ ἐπαιωρουμένου ταῖς κεναῖς ἐλπίσι τοῦ πλοῦτον ἢ δόξαν πορίσασθαι παρὰ βασιλέως, εἰωθότος καὶ ταῦτα τοῖς εὐδοκίμοις διαφερόντως χαρίζεσθαι, ἀλλ' ἐπιθυμοῦντος πρὸς ὠφέλειαν πάντων ἀδείας τυχεῖν καὶ ἐπικουρίας τοῦ συγγράφειν παρὰ τῷ μεγάλῳ τῶν Μόσχων αὐτοκράτορι, τῷ τοὺς πανταχόθεν εἰς τὰ βασίλεια παραγιγνομένους ἐπιστήμονας δεξιουμένῳ καὶ πᾶσι διδόντι παρρησίαν, οὕτω θαυμάζειν ἔπεισι τὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς κηδεμονίαν, οὐ πανωλέθρῳ ναυαγίᾳ ἀποτρέψαντος τῆς γνώμης τὸν Κατήφορον, ἀλλ' εὐφορήτῳ θλίψει μετακαλέσαντος αὐτὸν ἐπὶ τὴν Ἑλλάδα. Ὧν γὰρ ἡμεῖς ἐδεόμεθα παιδευμάτων οὐδενὸς ἂν ἐν χρείᾳ ἐτύγχανε τὸ τῶν Μόσχων γένος, πρότερον μὲν ἐκβεβαρβαρωμένον καὶ διὰ δεισιδαιμονίαν οὔτε τοὺς ξένους προσδεχόμενον οὔτε τῶν μαθημάτων ἐπιμελούμενον, τότε δὲ τοῦ ἀειμνήστου Πέτρου βασιλεύοντος καὶ πρὸς τοῖς ἄλλοις καταρθώμασι καὶ τὴν τοῦ ἤθους διόρθωσιν ποιεῖσθαι σπουδάζοντος, διὰ παιδείας ἐξημερούμενον καὶ τοὺς συνδραμόντας σοφοὺς ἀσπαζόμενον καὶ πᾶν εἶδος ἐπιστήμης ἐπερχόμενον. Τοσοῦτον δὲ διατρίψας χρόνον ἐν τῇ κυρίᾳ πόλει τῶν Βέλγων, ὅσον ἡ φιλοθεάμονος καὶ φιλομαθοῦς διανοίας περιεργία ἀπαιτεῖ, ἄρχεται τῆς δι' ἁρμάτων πορείας, καὶ διαβὰς Γαλλίαν τε καὶ Γερμανίαν καὶ μέρος τι τῆς Ἰταλίας καὶ πολλὰς ἐνδόξους πόλεις περιελθών, εἰς Ἐνετίας ἀφίκετο. Καί τοι μὲν οὖν ἐνταῦθα ἕτερός τις ὅσως τὸν λόγον ποιούμενος καὶ τὰ περὶ τὴν ὁδοιπορίαν ἐκδιηγούμενος οὐκ ἂν ὤκνησε κατὰ τὸ ἀκριβὲς διεξιέναι, ὅσα πανταχοῦ ἐξέδωκε δείγματα ὁ Κατήφορος τῆς ἑαυτοῦ πολυμαθείας καὶ ὅσης παρὰ πᾶσι τιμῆς ἔτυχεν οὐ μόνον ἰδιώταις, ἀλλὰ καὶ σοφοῖς καὶ ἄρχουσι καὶ βασιλεῦσιν· ἐγὼ δ' ὅμως φειδόμενος τῆς συμμετρίας τοῦ λόγου καὶ τἆλλα ἀπολιπὼν φημι μόνον, ὅτι πολλαχοῦ μεθοῖς οὐκ εὐκαταφρονήτοις ἀξιούμενος ἡγεῖσθαι παιδευτηρίου σεμναῖς ἀεὶ προφάσεσι παρῃτεῖτο τὸ ἐπιτήδευμα, καὶ φιλοχρόνως μέν τοι προπεμπόμενος ἔσπευδεν ἐπιδημῆσαι τῇ πατρίδι. Ἐπειδὴ δὲ τὰ στρατεύματα οὐδέπω τὰ ὅπλα ἀπέθεντο, οὐδέ τις ἐλπὶς ὑπεφαίνετο τοῦ διαλυθῆναι τὰς ἔχθρας, ἀλλ' ἔτι μᾶλλον ἥκμαζε τὰ τοῦ πολέμου ἐν τῇ Ἑλλάδι καὶ μεταξὺ ὁρῶν ἐν Ἐνετίαις πολλοὺς τῶν Ἑλλήνων τοὺς μὲν ἐκβληθέντας διὰ τὴν ἧτταν ἐκ τῆς πατρίδος, τοὺς δὲ ἐν ἀπογνώσει πραγμάτων ἀναχωρήσαντας καὶ πάντας μὲν ὡς εἰς εὔδιόν τινα καὶ ἀχείμαστον λιμένα εἰς τὴν ἀνίκητον μητρόπολιν καταφυγόντας, ποθοῦντας δὲ λόγων ἀκούειν τῇ πατρίῳ φωνῇ ἐκφερομένων, διέγνω ἐκεῖ μένειν καὶ παραμυθεῖσθαι τοὺς δυστυχοῦντας. Ὅθεν αὖθις καθηγητοῦ τάξιν ἀναλαβεῖν οὐ παρῃτήσατο, ἀλλ' ἅσμενος αὐτίκα τοῦ ἐπιχειρήματος προσήψατο. Καὶ δὴ παρουσιαζόμενος μὲν ἐν τῇ ἐκκλησίᾳ ἔπειθε τοὺς ἀκροατὰς μὴ ἀγανακτεῖν ἐπὶ ταῖς δυσπραγίαις τοῦ γένους, ἀλλ' εὐσχημόνως φέρειν τοῦ βίου τὰ ἀλγεινά, μηδὲ ἀπογιγνώσκειν τὰς ἀμείνους ἐλπίδας τῆς σωτηρίας, ἀλλ' ἐφησυχάζειν τοῖς τοῦ θείου βουλεύμασιν ἐπὶ τὸ κρεῖττον ἀεὶ διατιθέντος τὰ πράγματα· φιλοσοφῶν δὲ ἐν τῷ διδασκαλείῳ εἰσήγετο τοῖς νεωτέροις, μὴ μόνον δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλὰ καὶ δι' ὧν τὴν καλοκἀγαθίαν ἐν τοῖς ἔργοις ἐνδείξουσιν. Ἧττο γὰρ δεῖν μάλι-

στα τοὺς φιλομαθεῖς πειρᾶσθαι, ἣν βούλωνται ἐπιτυχεῖν περὶ τὸν βίον, ὥςπερ προέχειν τῶν ἄλλων κατὰ σοφίαν, οὕτω μὴ ἐλαττοῦσθαι κατ' ἀρετήν. Τοιοῦτο μὲν οὖν μετερχόμενος ἐπιτήδευμα περίβλεπτος γίγνεται ἐπὶ παιδείᾳ καὶ διὰ τὸν τρόπον ἐπέραστος τοῖς τε Ἕλλησι καὶ τοῖς ἐγχωρίοις. Τηλικαύτης δὲ οὔσης ἐν τῇ πόλει τῆς περὶ αὐτοῦ δόξης καὶ τὸ ἐνδόσιμον τότε παρασχούσης, ὅσον φρονεῖν εὖ καὶ λέγειν ἠπίστατο, σαφέστερον ἀπέδειξε. Προσκληθεὶς γὰρ εἰς τὰς λεγομένας ἀκαδημίας, ἔνθα καθ' ἕκαστον ἔτος ἐν ἐπηκόῳ πάντων τῶν συνδραμόντων γίγνονται διαλέξεις πρός τε γύμνασιν τῶν νέων καὶ πρὸς ἐπίδειξιν τῆς αὐτῶν ἐπιδόσεως, οὐχ ἧττον δὲ καὶ πρὸς διάγνωσιν τῆς ἀληθείας, εἰς τοῦτο κατέστησε πολλάκις ἀπορίας τοὺς μαθητάς, ὥςτε τοὺς παρεστῶτας διδασκάλους ἀναγκασθῆναι συνεπιλαβέσθαι τοῦ ἀγῶνος καὶ διισχορισμένους, ὡς ἂν οἷοί τ' εἶεν, τέλος ὁμολογῆσαι τὴν ἧτταν καὶ τὴν πρότέραν περὶ τῶν προκειμένων μεταθέσθαι γνώμην. Μὴ μέν τοι νομίσητε τοῦτον ἐπαιρόμενον ὅτι τὰ νικητήρια ἐν ταῖς διαλέξεσιν ἐπήνεγκεν, ἀλλὰ χαίροντα μόνον ὡς ὑπὸ τοῦ ψεύδους οὐ παρευδοκίμηται ἡ ἀλήθεια· ἀνθ' ὅτου διετέλει μάλιστα οἷς ἀντεῖπε τιμώμενος καὶ φιλούμενος. Καί περ οὖν πλείονα χρόνον τοῦ ἐξ ἀρχῆς ἐγνωσμένου διέτριψε παρ' Ἐνετοῖς, οὐ μὴν ἡγήσατο προέσθαι τὸν καιρὸν ταῖς περὶ τοὺς λόγους ἀσχολίαις προσκαρτερήσας· τρία γὰρ ἔτη προσανήλωσεν, ἀρ' οὗ κατελύθη ὁ πόλεμος. Βαθείας δὲ εἰρήνης οὔσης ἐν τῇ Ἑλλάδι, ἀνέκαμψεν εἰς τὴν Ζάκυνθον· ἔνθα τὴν προγεγενημένην τῆς ψυχῆς ἡσυχίαν ἀνακτώμενος ἡδέως πάλιν τὴν ἐν τοῖς λόγοις σπουδὴν ἀνενεώσατο. Αὐτὸς γὰρ εἰ καὶ πολλὰς περιερχόμενος πόλεις ἀναβαλεῖν ἠβουλήθη τὴν ἰδίαν ἐργασίαν, ἀλλ' οὖν ἐν τῇ πατρίδι μεταβαλεῖν, ἄτοπον ἔκρινε. Τοιγάρτοι πλείστην εὔνοιαν παρὰ πάντων ἑαυτῷ περιεποιήσατο καὶ παρεμπεσούσης εὐκαιρίας ἄξια τῶν πεπονημένων τἀπίχειρα παρὰ τῶν συμπολιτῶν ἐκομίσατο. Οὗτοι γὰρ ἕτερόν τινα τῶν οὐκ ἀφανῶν διακρουσάμενοι τὸν Κατήφορον προετίμησαν· καὶ ἐψηφίσαντο αὐτῷ τὸ πενταετὲς ἄξίωμα τοῦ ἐν ἱερεῦσι πρωτεύειν, δικαίαν τὴν ψῆφον θέμενοι. Εἴθε δὲ καὶ μικρὸν ὕστερον συνεχωρήθη τοῖς Ζακυνθίοις εἰς δικαστήριον εἰσελθοῦσιν ἡ ἐξουσία τοῦ διορίζειν τοὺς μέλλοντας προβάλλεσθαι εἰς διαψήφισιν, ἢ, τό γε ἄμεινον, τοῦ αἱρεῖσθαι τὸν ἴδιον ἀρχιερέα· προθύμως γὰρ ἂν αὐτὸν, οἶμαι, τῷ τῆς ἀρχιερωσύνης θρόνῳ ἐγκαθίδρυσαν· ἀλλ' οἱ Κεφαλλῆνες τὴν δίκην ἑλόντες καὶ νεμεσήσαντες τοῖς ἀντιδίκοις, ὅτι, ὃ πάλαι τῆς προαιρέσεως ἦν, ἐποίησαν ἐφεξῆς ἔσεσθαι τῆς ἀνάγκης τοῦ χειροτονεῖσθαι ἀνὰ δύο Κεφαλλῆνας ἀρχιερεῖς, ἕνα Ζακύνθιον ἀμφοτέρας διοικοῦντα τὰς νήσους, κατεσοφίσαντο αὐτῶν καὶ τὸν εὖ μάλα πρεσβύτην τότε προκρίναντες, τὸν Κατήφορον ὕστερον ἔθεντο. Ὥςτε, εἰ θέμις εἴη περὶ τοιούτων πραγμάτων ἀνθρωπικῶς διανοεῖσθαι καὶ ἀνεπαχθῶς εἰπεῖν, φαίην ἂν ἔγωγε, ὅτι οὐ κατ' ἀξίαν ἐγεγόνει ἡ ἐκλογὴ ἐκείνη, ἀλλὰ καθ' ἡλικίαν. Πείθομαι δ' οὕτω ὑπὸ τῆς ψηφοφορίας· πέντε γὰρ ταύτην αἰτησάντων τὴν προεδρίαν, ὅσῳ περ αὐτῶν ἕκαστος ἔτυχεν ὢν πρεσβύτερος, τοσούτῳ πλείονας ἔλαβε ψήφους. Ἀποτυχὼν οὖν, ἅτε δὴ νεώτερος, ὁ νῦν ἐπαινούμενος τοιᾷδε τιμῇ, ἧς, εἴπερ τις ἄλλος, ἄξιον ἑαυτὸν παρέσχεν, οὐχ οὕτως ὑπὲρ τῆς ἀρχῆς ἐλυπήθη, ὡς ὑπὲρ τῶν ἀρχομένων. Ἑώρα μὲν γὰρ πάντας ψυχικῆς χρῄζοντας δδηγίας καὶ ἀμείνονος τῆς ἐνούσης ἐπιθυμοῦντας διοικήσεως. Ἐβούλετο δὲ μηδένα τὸ λοιπὸν τῆς ἱερᾶς ἀξιώσειν τάξεως μηδὲ εἰς τὸ Θυσιαστήριον εἰσαγαγεῖν, ὃν ἂν ἐνδεέστερον εὕρεν ἢ ὡς ἁρμόσαι τῷ τῆς ἱερωσύνης κανόνι ἐξετασθέντα. Πῶς γὰρ ἂν ὑπέμεινε τοὺς ὑπηρέτας τοῦ θείου λόγου οὐδεμίαν ἔχειν λόγων δύναμιν; ἢ πῶς ἂν οὐ κωλύσειε τῶν ὑπὲρ ἔννοιαν ἀνθρωπίνην μυστηρίων κομιδῇ νέους γίνεσθαι μύστας καὶ οἰκονόμους; Ἀλλ' ἕτερος μὲν τοῦ ἱεροῦ συλλόγου καὶ παντὸς τοῦ ποιμνίου τὴν φροντίδα ἐμπεπίστευται· αὐτὸς δὲ κάλλιστα ἐπιτροπεύων τοῦ ἐν Ζακύνθῳ ἱερατεύματος οὐδένα χρόνον διέλειπε παιδεύων

τοὺς ἀναγώγους καὶ ἐπανορθῶν τοὺς προσπταίοντας. Διανύσας δὲ ταύτην τὴν ὑπουργίαν οὐκ ἐπὶ τὸ ῥᾳθυμεῖν ἀπέκλινεν· ἀδύνατον γὰρ τὸν ἔχοντα ἐκ πρώτης ἡλικίας ἐνιδρυμένον τῇ ψυχῇ τὸν τῆς παιδείας ἔρωτα παντάπασιν ἑαυτὸν ἀνιέναι καὶ ὀκνηρίᾳ συζῆν· ἀλλὰ συντονώτερον νύκτωρ καὶ μεθ' ἡμέραν πονεῖν ἐπεχείρησε. Πλείστην γὰρ ὄνησιν εἰσενέγκας τῇ πατρίδι καὶ τοῖς συμπολίταις ἱκανῶς μεταδοὺς τῶν μαθημάτων, ἅπαν τὸ γένος ἐπὶ μετουσίαν ἄλλοσέ ποι καλεῖν ἔκρινε. Ζητῶν μὲν οὖν πόλιν πρὸς τοῦτο ἐπιτήδειον, ἅμα δὲ προτιμῶν τὴν εὐδόκιμον καὶ φιλόκαλον καὶ πολυάνθρωπον, καθὰ διακελεύεται Πλούταρχος ἐν τῷ τοῦ Δημοσθένους βίῳ, ὅπως βουλόμενος συντάξαι τι καὶ ἱστορίαν συγγράψαι βιβλίων ἔχοι παντοδαπῶν ἀφθονίαν, πρὸς ἅπαντα ἐξαρκούσας εὗρε τὰς Ἐνετίας. Ἐκεῖσε γὰρ συρρέουσι πάντες σχεδὸν οἱ ἐπὶ παιδείας προφάσει ἐκ τῆς Ἑλλάδος ἀποδημοῦντες, ῥᾴδιόν τέ ἐστιν ὠτινιοῦν ἐντυγχάνειν συγγράμματι καὶ ἐλλογίμοις ἀνδράσι κοινολογεῖσθαι. Πλευστέον ἦν τοίνυν αὐτῷ ἐπὶ τῷ διαπρᾶξαι τὸ σπουδαζόμενον· μηδαμῶς δὲ ἱσταμένης ἐμποδὼν τῆς τύχης τοῦ ὑπερήμερον γενέσθαι, ἀλλὰ μᾶλλον παρασχούσης ναῦν τῶν ἀρίστων, ἐμβὰς εἰς αὐτὴν καὶ πλῷ καλλίστῳ χρησάμενος, τοῖς ἀχειμάστοις λιμέσιν ἐγκαθωρμήθη· ἔνθεν δὲ εἰς τὸν τόπον μετενεχθέντι, καθ' ὃν τεσσαράκοντα ἡμέρας ἀναγκάζονται μένειν πάντες οἱ νεωστὶ ἐκ τῆς ἀνατολικῆς ἀφικνούμενοι χώρας, ἵνα πᾶσαν λοιμικῆς νόσου ὑπόνοιαν ἀποσκευασάμενοι λάβωσιν ὑγιείας δοκίμιον, καὶ ἐπιτελέσαντι τῆς πολιτείας τὸ πρόσταγμα ἐπετέτραπτο αὐτῷ εἰς τὴν πόλιν εἰσιέναι. Ἐνταῦθα μὲν οὖν μικρὸν ἐπισχὼν τὰς τῆς διδασκαλίας φροντίδας, περὶ τὰς δεξιώσεις καὶ ἀποδοχὰς τῶν φίλων τε καὶ γνωρίμων ἐσχόλασεν. Εὐθὺς δὲ ἄρχεται τῶν πόνων, ἐμμένων μὲν οἷς ἅπαξ προσῄλετο ἐπιτηδεύμασι, προσεπιλαμβάνων δὲ βιβλίων σύνταξιν. Καὶ δὴ τὰ μέγιστα τοῖς Ἕλλησι χαριεῖσθαι δοκῶν, πλείστους μὲν κανόνας ἤθροισε τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων γραμματικαῖς, τινὰς δὲ καὶ ἐπενόησε καὶ περὶ πάντων ἡδυνήθη κάλλιστα καὶ σαφέστατα φράσαι. Δι' αὐτῆς γὰρ τῆς μεθόδου (εἴτε οὖν ἐμοὶ πείθεσθε, τῷ διὰ πείρας ἥκοντι) ὑπάρχει πᾶσι τοῖς μὴ βουλομένοις ἐν τοῖς ματαίοις ἀσχοληθῆναι καὶ ἐννεάσαι ταῖς τῶν γραμματικῶν λεπτολογίαις, ἀλλ' ἐπιζητοῦσι τὴν ἐκ ταπεινοτέρων μαθημάτων εἰς ὑψηλότερα πρόοδον καὶ ἀνάβασιν, κατ' ὀλίγον χρόνον ἐπηβόλοις γενέσθαι τῆς τέχνης καὶ τὴν ἑλληνικὴν γλῶτταν καταμαθεῖν. Ἐφεξῆς δὲ εἰς τὴν λατινίδα μετήνεγκεν ἅπαντα τὰ τοῦ Φωτίου συγγράμματα, οὕτω μὲν ἐπανορθῶν, ἃ πρότερον ἄλλοι μεταφράσαντες διέφθειραν, ὥστε μεγίστας διαφορᾶς ἀλλήλων κεχωρισμένα φαίνεσθαι, οὕτω δὲ ἀναπληρῶν, ἅπερ οὐδεὶς ἐτόλμησε μεταλαβεῖν εἰς τὴν σφετέραν διάλεκτον, ὥστε χαίρειν μὲν καὶ θαυμάζειν τοὺς ἀπογιγνώσκοντας πρὸς τὴν μετάφρασιν, ψευδομένους δὲ ἐξελέγχεσθαι τοὺς διαφημίζοντας, ὡς παντί που ἀνέφικτα καὶ ἀπράσιτα. Πρὸς δὲ τούτοις τοιαῦτα ὑπέβαλεν ὑπομνήματα, οἷα τοῖς μὲν ἀναγνωσομένοις φῶς ἐποίσει τὸ μέγιστον, αὐτῷ δὲ ἀθάνατον κλέος καὶ μνήμην πολυμαθείας παρασκευάσει. Τοῦτό γε μὴν τὸ σύνταγμα μέχρι τοῦ νῦν ἀνέκδοτον διέμεινεν, ἀπολέσαντος τὴν οὐσίαν καὶ τελευτήσαντος τοῦ ἐπαγγειλαμένου ἐκδώσειν αὐτὸ χαλκογράφου, ἀλλ' οὐκ εἰς τέλος ἀμεληθήσεται. Ἕτέροις γάρ, οἶμαι, πειρατέον ἐξενεγκεῖν εἰς τὸ φῶς τηλικοῦτον πόνημα. Οἶδα μὲν οὖν, ἐξ ὧν εἴρηκα, ὅτι θαυμάζετε καὶ εὐδαιμονίζετε τὸν ἄνδρα ἐπὶ σοφίᾳ· ὃ δὲ ἁπάντων θαῦμα μέγιστόν ἐστιν ἔρχομαι φράσων. Τίς γὰρ οὐκ ἂν ἀγάσαιτο αὐτὸν ἀκούσας, ὡς οὐ μόνον κατὰ τὸν αὐτὸν χρόνον μελετῶν ἐτύγχανε τοὺς περὶ τοῦ θείου βήματος λόγους, παιδεύων οὐκ ἐπαύετο τοὺς φοιτῶντας ἣν ἕκαστος αὐτῶν ἠσπάζετο παιδείαν, συγγράφειν ἐσπούδασεν ἅπερ ὀλίγοι δύνανται καὶ μηδεμίαν ἄλλην ἔχοντες ἀσχολίαν, ἀλλὰ καὶ μικρόν τι τῶν πόνων ἀναπνεῦσαι βουλόμενος εἰώθει εἰς ἱστοριῶν σύνταξιν καὶ εἰς ἧττον ἐργώδεις μεταφράσεις ἀνέσεως καὶ εὐθυμίας ἕνεκα προσέρχεσθαι. Μεταξὺ

δὴ τῶν περισχόντων αὐτὸν πραγμάτων ἱστόρησεν ὁ Κατήφορος γλώττῃ ἰταλικῇ Πέτρου τοῦ μεγάλου τῶν Μόσχων βασιλέως τὰς πράξεις καὶ ἃ κατ' ἔτος συνέβαινε δι' ὅλης τῆς οἰκουμένης ἀξιομνημόνευτα, εὐκρινῶς μὲν συνείρων τοὺς λόγους, εἰλικρινῶς δὲ πάντα διηγούμενος. Μετὰ ταῦτα δὲ ἐξέδωκε πολλὰ τεύχη μεταβαλὼν ἐκ τῆς γαλατικῆς καὶ τῆς βρεττανικῆς εἰς τὴν ἰταλικήν. Ἀκούων γὰρ ὅτι τὸ Βρεττανῶν γένος κατὰ πᾶσαν παιδείαν εἰς ἄκρον ἐξασκούμενον μεγάλην μὲν εἶχεν ἐν τοῖς μαθήμασι προκοπήν, καθ' ἡμέραν δὲ συγγράμματα προέφερε πρὸς τὰ τῶν ἀρχαίων ὑποδείγματα ῥυθμιζόμενα ἢ καὶ τὴν ἐκείνων δόξαν ἐπισκιάζοντα, ἔρωτι κατεσχέθη τῆς γλώττης, ὅπως ἂν οἷός τε γίγνοιτο τοιούτοις ἀναγνώσμασιν ὁμιλεῖν. Ἐπειδὰν δὲ τάχιστα ἐνεχώρησεν ἡ ὥρα τοῦτο ποιεῖν, τινὶ τῶν γνωρίμων διδασκάλῳ χρησάμενος, πλεῖστον ἐνίδρωσε τῇ σπουδῇ. Ὅθεν περίπου δύο μῆνας εἰς τοσοῦτον προὔβηκεν ἐμπειρίας, ὥστε οὑτινοσοῦν Βρεττανικοῦ βιβλίου προσήπτετο ἐκ τοῦ προχείρου ποιεῖσθαι τὴν μετάφρασιν. Τὰ νῦν οὖν αἰσθάνομαι ὑμᾶς αἰτοῦντας παρὰ τοῦ Κατηφόρου ἕτερά γε συγγράμματα ἑλληνικά· ἀλλ' εὖ οἶδα, ὅτι φείσεσθε τοῦ ἀνδρὸς καὶ οὐ καταμέμψεσθε λογισάμενοι, πῶς διέκειτο τὰ ἡμέτερα, μηδενὸς μὲν τὴν τῶν κοινῶν προστασίαν λαμβάνοντος, πάντων δὲ πολλὴν τῶν ἰδίων ἐπιμέλειαν ἐχόντων καὶ προφασιζομένων τὸ μὴ κεκτῆσθαι πρὸς τὰ τῆς ἐκδόσεως ἀναλώματα ἱκανὴν οὐσίαν· δουλευτέον ἦν ἄρα τοῖς καιροῖς καὶ τοῖς πράγμασιν. Ἄλλως τ' ἐπειδὴ ἑώρα τὸ γένος τὸ ἑλληνικὸν εὐποροῦν μὲν παντὸς καλλίστου συγγράμματος ἐκ τῶν σφετέρων ἐκπεπονημένου προγόνων τῶν ἐν ἑκάστῳ παιδείας εἴδει διαπρεψάντων, ὀλίγους δὲ ἔχον ἀποφῆναι τοὺς χρωμένους ταῖς βίβλοις ἐκείνων καὶ συνιέντας, προσέσχε τὸν νοῦν ὡς οἷόν τε μάλιστα ἐπὶ τῷ μεταδοῦναι τοῖς Ἕλλησι παντοίου μαθήματος, τῆς οἰκείας δόξης ἀντικαταλλαξάμενος τὴν τοῦ γένους ἐπίδοσιν. Ἀλλ' ὅμως καὶ δι' ὧν ἀπειργάσατο, τηλικαύτην ἐπὶ σοφίᾳ εὔκλειαν ἠνέγκατο,

ὥστε τοὺς κατὰ θέαν τῶν ἐπὶ τῆς ἀλλοδαπῆς ἀποδημοῦντας πεπαιδευμένους ἐπιθυμεῖν διαλεχθῆναι καὶ συνήθεις γενέσθαι τῷ Κατηφόρῳ, μεγίστην οἰομένους ζημίαν τὸ μὴ ἀπολαῦσαι τῆς αὐτοῦ φωνῆς. Δικαίως γὰρ ἄν τις μεταγράψειεν ἣν περὶ Λογγίνου ἐν τοῖς ἄνωθεν χρόνοις παρέχεται μαρτυρίαν Εὐνάπιος καὶ προσαρμόσειεν αὐτῷ ἐπιτηδειότατα· ὄντως γάρ βιβλιοθήκη τις ἦν ἔμψυχος καὶ περιπατοῦν μουσεῖον καὶ κρίνειν τούς τε παλαιοὺς καὶ νέους συγγραφεῖς ἱκανώτατος. Διὸ ἐπὶ παιδείᾳ εὐδοκιμήσας, οὐ τῆς τυχούσης μὲν ἠξιώθη τιμῆς τοῦ ἀναγραφῆναι ἐν τοῖς ἀπομνημονεύμασι τῶν πεπαιδευμένων παρά τινι τῶν ἀκαδημιῶν τῆς Γερμανίας· πρῶτος δὲ ἐκ τῶν Ζακυνθίων (ἐρῶ γὰρ τἀληθές, εἰ καὶ μὴ λίαν ἔντιμον περὶ τῆς πατρίδος τὸ νῦν λεγόμενον) ἐν ἅπαντι χρόνῳ τῶν μνημονευομένων ἀνθρώπων φαίνεται κάλλιστος συγγραφεὺς γενόμενος, καὶ εἴτις ἄλλος ἔσται, εἰ μὴ δι' ἐκείνου, ἀλλὰ μετ' ἐκεῖνον φανήσεται. Ταῦτα μὲν οὖν ἱκανῶς εἰρῆσθαι νομίζω περὶ τῆς Κατηφόρου παιδεύσεως· ἀναληπτέον δέ μοι τὸν λόγον περὶ τῆς αὐτοῦ ἀρετῆς. Καί τοι γὰρ περιττὸν ἂν ἡγήσατό τις εἶναι τοῦτο τὸ μέρος τοῦ λόγου, πάντων εἰκάσαι δυναμένων τὸ τοῦ φιλοσόφου ἦθος καὶ φιλοσόφου χριστιανοῦ· ὅμως δὲ, ἵνα μὴ ἐλλιπὴς ὁ λόγος γένηται παρὰ τὴν ὑπόσχεσιν, συνελὼν τὰ πάντα ἀναζωγραφήσω τὸν ἄνδρα· οὕτω γὰρ φανερώτερον γενήσεται, μέχρι τίνος αὐτὸν ὑπεισήει ὁ τῆς καλοκἀγαθίας ἔρως. Πρῶτον μὲν οὖν ἐφάνη πρὸς Θεὸν ὁσίως διακείμενος καὶ τὰ θεῖα εὐμενῶς ἀσπαζόμενος στέργων μὲν τὰ ἀπακεκαλυμμένα, οὐ περιεργαζόμενος δὲ τὰ ἀπόρρητα, τὴν μὲν πρᾶξιν ἐν τοῖς τοιούτοις πρωτιμῶν, τὴν δὲ θεωρίαν παρὰ πολὺ ὑστέραν ποιούμενος, καὶ, καθ' ὅσον χριστιανῷ προσήκει, δοκιμάζων. Ὤετο γὰρ οὐχ οὕτω ἀγχινοίας εἶναι, ὡς ἀγαθῆς διαθέσεως τὴν εὐσέβειαν· ὅθεν καί περ πολλοὶ τῶν νῦν κατὰ τὴν ἔξω σοφίαν προεχόντων ἀνέζωπύρησαν τὴν οὖσαν ἐν χρόνοις τοῦ Παύλου μωρίαν καὶ εἰς μυρίας δόξας καὶ πλάνας διεσπάσθησαν, οὗτός γε μὴν οὐδαμῶς

ἀνεχώρησε τῆς εὐσεβοῦς διανοίας, ἀλλ' ἐπὶ τῆς αὐτῆς ἀεὶ προαιρέσεως βέβηκεν, οὐ πολυπραγμονῶν περὶ τῶν θείων μυστηρίων, ἀλλὰ μᾶλλον αἰχμαλωτίζων τὸν νοῦν εἰς τὴν ὑπακοὴν τῆς πίστεως, ἀγνοῶν μὲν οὐδὲν ὧν ἀνθρωπίνη φύσει εἰδέναι ἐνδέχεται, εἰδὼς δὲ ἐφ' ὅσον ἀγνοεῖν αὐτὴ κατακέκριται, ὅρον καὶ μέτρον ἐπιστήμης φυλάττων οὐ μόνον περὶ τὰ θεῖα καὶ ἐπουράνια, ἀλλὰ καὶ περὶ τὰ ἀνθρώπινα καὶ ἐπίγεια. Τοιοῦτος γὰρ ἦν, οἷος μηδὲν περὶ μηδενὸς προπετῶς ἀπεφαίνετο, ἀλλ' ἐν τοῖς ἀδήλοις τὴν κρίσιν ἐπεῖχε καὶ τὴν ἰδίαν ἄγνοιαν εὐγνωμόνως καὶ ἀδεῶς ὡμολόγει· οὐδὲ ἐντεῦθεν διισχυρίζετο, μηδόλως ὑπάρχειν τὸ μὴ κατανοούμενον, ὥσπερ διαμιλλῶνται οἱ ἐξ ἀγνοίας γνῶσιν ἀθεΐας συνάγοντες καὶ τοῖς τῆς ἀληθείας δόγμασι πολεμοῦντες, οὐκ οἶδα τί πρότερον παθόντες ἢ ὑπὲρ τὸν ἀνθρώπινον νοῦν ἐπαρθέντες, ἢ βδελυκτοῖς πάθεσι καὶ πάσαις κτηνώδεσιν ἐπιθυμίαις μολυνθέντες. Εἶτα δὲ τὸν πλησίον ἠγάπησε καὶ ἐπέκεινα τοῦ προστάγματος, οὐδένα μὲν ἀδικῶν, πᾶσι δὲ τὰ δίκαια παρέχων· ἀλλὰ καὶ τῆς χρείας ἀπαιτούσης, ἑλόμενος μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν· οὐ λίαν μὲν ἀθυμῶν ζημιωθεὶς τὴν οὐσίαν, σφόδρα δὲ λυπούμενος ἀκρωτηριασθεὶς τὴν ἀρετήν· διόπερ οὐκ ἐπαύετο τοῖς δεομένοις κατὰ δύναμιν βοηθῶν, καὶ μεταδιδοὺς τῶν περισσευμάτων. Μὴ οὖν ἐνταῦθα νοήσητε τοὺς χλιδῶντας καὶ ἀσωτευομένους, οἵτινες πλήρωσιν ταῖς ἡδοναῖς ἐκπαριζόμενοι τῶν πενήτων ὀλιγωροῦσιν, οὐδὲν ἢ μικρόν τι περίττευμα ἔχοντες. Οὗτος γὰρ σωφροσύνην ἀσκήσας παρ' ὅλον τὸν βίον καὶ τῆς γαστρὸς ἐγκρατὴς γενόμενος καὶ τὸν λιμὸν ἰώμενος διὰ ψιλῆς καὶ εἰς εὐτέλειαν ἀπηκριβωμένης τῆς τῶν ἀναγκαίων χρήσεως πρὸς τὰς εὐποιΐας εὐπορῶν διετέλει· τοιαύτην δὲ διετήρησεν ἐγκράτειαν οὐ μόνον οἴκοι μένων, ἀλλ' καὶ ὑφ' ἑτέρων εἰς ἑστίασιν καλούμενος καὶ ἐπὶ πολυτελεῖς τραπέζας παραλαμβανόμενος, ὥστε αὐτὸν (εἴποι τις ἄν) ἐσθίειν, ἵνα ζῴη, οὐ ζῆν, ἵν' ἐσθίῃ. Ἐν τοῖς συμποσίοις μὲν οὖν, ἡνίκα μάλιστα δοκεῖ θυμηδίας εἶναι καιρός, τοῦ

οἴνου ἐμφοροῦντος ἡδονῆς τοὺς εὐωχουμένους καὶ ἐξοιστροῦντος αὐτῶν τὴν ψυχὴν εἰς ὁμολοχίας καὶ ῥήματα πολλάκις ἀπρεπῆ, οὕτω μὲν χαριεντιζόμενος ἐτύγχανεν ὁ Κατήφορος, ὥστε μὴ μᾶλλον παίζοντα ἢ σπουδάζοντα φαίνεσθαι, οὕτω δὲ ἡδέως ἐφθέγγετο, ὥστε μηδόλως γίνεσθαι τοῖς συνδαιτυμόσιν ἐπαχθῆ τε καὶ φορτικόν. Ἐν δὲ ταῖς ὁμιλίαις ἐπιεικῶς τὴν ἀλήθειαν ἐτίμησε καὶ οὐδέποτε εἰς ψευδηγορίαν ὠλίσθησεν· αὐτὸς γὰρ οὐ μόνον ψεῦδος εἰπεῖν οὐκ ἐβούλετο, ἀλλὰ καὶ τἀληθὲς σιωπῇ παραδραμεῖν οὐκ ἠνείχετο· ὥςτε δικαίως ἀεὶ πᾶσιν ἔδοξε τοιοῦτος, οἷος ἂν λέγειν κατὰ τὴν παροιμίαν τὰ σῦκα σῦκα καὶ τὴν σκάφην σκάφην, ἐὰν ὑπεξαιρῆσθε μόνον τὰ τῶν φίλων ἀπόρρητα. Καί τοι τί λέγω περὶ τῶν φίλων αὐτοῦ, ὅτις οὐδὲν τῶν εἰς ἄνδρα σπουδαῖον ἡκόντων παρέλιπεν, ἀλλὰ τὰ δέοντα καὶ πρὸς γνωρίμους καὶ πρὸς ἀγνώτας ἀπετέλεσεν; Ἐν παντὶ δὲ χρόνῳ καὶ τόπῳ ἦν ταπεινόφρων καὶ πρᾷος, ἐπὶ μὲν ταῖς λοιπαῖς ἀρεταῖς ἐκ πολλοῦ τοῦ διαστήματος τοὺς ἄλλους νικήσας, ἐπὶ ταύταις δὲ αὐτὸς ἑαυτοῦ ἀποδειχθεὶς ὑψηλότερος. Ὅθεν καὶ εὐπρόοδον παρεῖχεν ἑαυτὸν τοῖς ἐντυγχάνουσι. Τὸν δὴ κατὰ πᾶσαν παιδείαν εἰδοκιμήσαντα, καὶ πᾶν ἀρετῆς συνειληφότα γένος πῶς οὐκ ἦν δίκαιον ἐγκωμιασθῆναι; Καί περ γὰρ αὐτὸς ἐμαυτοῦ κατεγίγνωσκον μήποτ' ἂν δυνατὸς γενέσθαι ἱκανῶς ἐγκωμιάσαι τὸν ἄνδρα καὶ τοὺς ἐπαίνους ἐξισῶσαι ταῖς αὐτοῦ ἀρεταῖς, καὶ ταῦτα προελόμενος τῆς ἀληθείας ἀντέχεσθαι ἢ ταῖς ὑπερβολαῖς καταχρῆσθαι καὶ δοκεῖν ἱστορικοῦ μᾶλλον ἢ σοφιστοῦ ἔργον ἀποπληροῦν, ὅμως ἐθάρσησα τοῦ λόγου προσάψασθαι, νομίσας μὲν εἶναι πρὸς τοῦ καθήκοντος τοῦ ἐμοῦ τὸν Κατήφορον ἐπαινέσαι κατὰ τὴν προσοῦσαν ἐμοὶ δύναμιν, ἅμα δὲ ἐλπίσας, εἰ καὶ μηδενὸς ἄλλου ἐπιτυχεῖν, ἀλλὰ γοῦν ὕλην ἱκανὴν ὑποθήσειν καὶ τὴν ὁδὸν ὑποστρώσειν τοῖς δυναμένοις ἀξίως αὐτὸν ἀνυμνῆσαι. Δέξαι τοίνυν, ἀνδρῶν προσφιλεστατέ μοι καὶ τιμιώτατε, οἷόν τινα ἀπαρχὴν τῆς ἐμῆς παιδείας τόνδε τὸν λόγον προσφερόμενόν

σαι εἰς εὐγνωμοσύνης τεκμήριον ἀνθ' ὧν εὖ πέπονθα ὑπὸ σοῦ καὶ πέπεισο, ὅτι εὐεργέτης ἀεὶ ἀναγεγράψει. Εἰ γὰρ καλῶς τοῖς ἀνθρώποις ἡ φύσις ἔρωτα τοῦ μέλλοντος ἐναπέθετο καὶ πᾶς μὴ σκαιὸς τὸν τρόπον μηδὲ ἀβέλτερός τε καὶ δυσώνυμος ἀξιοῖ μνημόσυνον αὐτοῦ λείπεσθαι ἢ ἐν φίλοις ἢ ἐν βίβλοις, τοῦτο παραμύθιον τῆς τοῦ ἐφημέρου βίου ἀπαλλαγῆς εἶναι νομίζων, τοῦτο γέρας ἐνθάδε τῆς ἀρετῆς ἀπολαβεῖν ἐφιέμενος, πάντως γε σὺ τὸ ποθούμενον ῥᾳδίως κατορθώσεις ἀνεξάλειπτον σαυτοῦ διασώζων τὴν μνήμην. Εἰσὶ γὰρ πλεῖστοι ἐν πάσῃ τῇ Ἑλλάδι, οἳ τῆς σῆς ἀπολελαυκότες παιδεύσεως ἔλαβον ἐν στέρνοις τὴν περὶ σὲ ἀγάπην καὶ ἀεὶ τοῦ Κατηφόρου ὡς εὐεργέτου μνησθήσονται. Τούτων οὖν κἀγὼ οὐδενὸς χείρων εἰς προθυμίαν οὐδένα καιρὸν παραλείψω μνημονεύων τῆς πρὸς ἀλλήλους συνηθείας, ἀλλ' ἐὰν γράψω ποτὲ ἢ εἴπω τι ἀξιόλογον, ἀεί γε τῷ σῷ ὀνόματι ἐποχούμενός τε καὶ φαιδρυνόμενος. Σὺ γὰρ ὡς ἄριστος τῶν ἐγκυκλίων παιδευτὴς τὴν προτέραν ἐπεσφραγίσω μου σπουδήν, δοκιμάσας μὲν ὅσα παρ' ἄλλοις ὀρθῶς ἐδιδάχθην, ἐπανορθώσας δὲ ὁτιοῦν τῆς γνώμης διήμαρτον καὶ προσέτι παντοδαποῖς παιδεύμασι κατεπλούτισάς τε καὶ κατεκόσμησας τὴν ἐμὴν διάνοιαν. Σὺ πάντων, ὧν ἴσμεν τῶν μετὰ τὴν ἅλωσιν τῆς Ἑλλάδος ἀναζωπυρησάντων τὴν πρὸς τοὺς λόγους ἀποσβεσθεῖσαν ὁρμὴν εὐδοκιμώτατος γέγονας· Σὺ οὐχ ἡμίεργον ἐπιτηδεύων ἀρετὴν, ἀλλὰ πᾶσι τοῖς μέρεσιν ὁλόκληρον παρέσχες ἡμῖν παράδειγμα κάλλιστον, εἰς ὅπερ ἕκαστος ἀποβλέπων, πρὸς τοῦτο δύναιτ' ἂν ῥυθμίζειν καὶ ἀπευθύνειν τὸν ἑαυτοῦ βίον. Πάντες τοιγαροῦν ὅσοι τῶν νέων φιλομαθεῖς πεφύκατε, ὅσοι χαρίεντες (ἐξ ὑμῶν γὰρ ἠρξάμην καὶ πρὸς ὑμᾶς καταπαύσω τὸν λόγον), τηλικοῦτον ἄνδρα ζηλώσατε, τούτῳ γε καλῶς ὁδηγοῦντι κατ' ἴχνος ἑπόμενοι. Οὕτω γὰρ ἕν τε παιδείᾳ καὶ ἀρετῇ μεγάλῃ ἕξετε προκοπὴν, κἀνταῦθα μὲν μέγα παρ' ἀνθρώποις ὄνομα κτήσεσθε, παρὰ δὲ Θεῷ ἀΐδιον τῶν πόνων τὰς ἀμοιβὰς ἀπολήψεσθε.

ἐξαχθὲν ἐν Ζακύνθῳ τῇ 2 Αὐγούστου 1861 ἴσον τῷ παρ ἐμοὶ εὑρισκομένῳ πρωτοτύπῳ, ὅπως καταχωρισθῇ εἰς τὸν Φιλίστορα.

Νικόλαος Μεταξᾶς Σαντορίνης ποτὲ Ἀγγέλου.

ΛΟΓΟΣ

ἐκφωνηθεὶς κατὰ τὰς ἐξετάσεις

ΤΗΣ ΕΝ ΙΩΑΝΝΙΝΟΙΣ ΖΩΣΙΜΑΙΑΣ ΣΧΟΛΗΣ

ὑπὸ τοῦ καθηγητοῦ,

ΣΤΕΦΑΝΟΥ Α. ΡΑΔΟΥ

Ἐν Ἰωαννίνοις, τῇ 16 Ἰουλίου 1861 (*)

Κύριοι!

Ἡ Ζωσιμαία Σχολὴ τὰς δύο παρελθούσας ἑβδομάδας ἐξέθηκεν ἐνώπιον τοῦ κοινοῦ τὰς ἐπὶ τὸ ἔτος ἐργασίας αὐτῆς ἐξετάσασα δημοσίως τὰ διαταχθέντα μαθήματα. Πάντες, ὅσοι μέλει διὰ τὰ κοινὰ, ἔχουν τώρα μίαν μᾶλλον ὡρισμένην γνώμην περὶ τοῦ καταστήματος· καὶ ἄλλοι μὲν πιθανὸν νὰ ἦναι εὐχαριστημένοι μὲ τ' ἀποτελέσματα τῶν ἐργασιῶν της, ἄλλοι δὲ ὄχι. Ἐν τούτοις καὶ οἱ πρῶτοι καὶ οἱ δεύτεροι θέλουν νὰ μεταῤῥυθμίσωσι τὰ καθεστῶτα, οἱ μὲν ἵνα τελειοποιήσωσι τὰ καλῶς ἔχοντα, οἱ δὲ ἵνα ἀντικαταστήσωσι τὰ κακῶς μὲ ἄλλα, τὰ ὁποῖα νομίζουσι προσφορώτερα εἰς τὸν σκοπὸν καὶ τὰς ἀ-

(*) Τὸν λόγον τοῦτον, καίπερ περὶ τῶν ἐν Ἰωαννίνοις παιδευτηρίων ἰδίως καὶ τῶν ἐκεῖ εἰσακτέων μεταρρυθμίσεων πραγματευόμενον, ὅμως ὡς ἔχοντα καὶ γενικωτέρας ἀπόψεις προθύμως τὸν μεταφέρομεν εἰς τὸν Φιλίστορα. σ.τ.σ.

νάγκας τῆς πόλεως. Καὶ τοῦτο μὴ νομίσῃ τις ὅτι εἶναι λόγια εἰς τὸν ἀέρα. Τινὲς τῶν κυρίων ἐφόρων ὄχι μόνον ἐξέφρασαν τὴν πρόθεσιν ταύτην, ἀλλὰ καὶ πολλὰ προγράμματα (δὲν γνωρίζω, ἂν καὶ κανονισμούς) ἐφρόντιζαν τοὺς παρελθόντας μῆνας νὰ λάβωσιν ἐκ διαφόρων γυμνασίων οὐχὶ τῆς Ἑλλάδος, ἀλλὰ καὶ ἄλλων μακρυνωτέρων χωρῶν καὶ κρατῶν καὶ ἀπὸ τῆς Γερμανίας αὐτῆς. Πολλοὺς δὲ καὶ ἄλλους τῆς πόλεως ἐξεύρω, ὁποῦ ἐπιθυμοῦν καὶ καρτεροῦν μάλιστα νὰ ἴδωσι μὲ τὸ νέον *μαθητικὸν* ἔτος νέα πράγματα ἐν τῇ Σχολῇ. Ὅσοι δὲ ἠμεθα προχθὲς ἐδῶ κατὰ τὴν ἔναρξιν τῶν ἐξετάσεων ἠκούσαμεν πάντες τὸν σοφὸν καθηγητὴν τῶν Μαθηματικῶν, κύριον Μανάρην, νὰ ὁμολογῇ καὶ κηρύττῃ τὴν ἀνάγκην τῶν μεταρρυθμίσεων.

Τὴν ὄρεξιν ταύτην πρὸς τοὺς νεωτερισμοὺς εὑρίσκω πολλὰ φυσικήν. Τὰ πάντα ἐν τῷ κόσμῳ τούτῳ κινοῦνται καὶ ἀλλοιοῦνται· τίποτε δὲν μένει ἀμετάβλητον, καὶ πολὺ ὀλιγώτερον ὁ ἄνθρωπος καὶ ἡ κοινωνία αὐτοῦ· διὰ τοῦτο αἱ μεταρρυθμίσεις εἶναι καὶ ἀνάγκη· ὅ,τι ἦτο καλὸν διὰ τοὺς πατέρας μας, δὲν ἐμπορεῖ τὸ αὐτὸ νὰ ἦναι καὶ δι' ἡμᾶς. Τὴν βοπὴν λοιπὸν ταύτην πρὸς τὰ νέα, ὡς ἐν τῇ φύσει αὐτῇ ὑπάρχουσαν, δὲν ἔχω τί νὰ κατηγορήσω. Τοῦτο μόνον ἐνθυμίζω τοὺς τὰς μεταβολὰς σφόδρα ἀγαπῶντας, ὅτι αὗται γίνονται καὶ πρὸς τὸ καλλίτερον καὶ πρὸς τὸ χειρότερον, καὶ ἡ διάγνωσις ἀμέσως, ἂν δὲν εἶναι ὅλως ἀδύνατον, πάντως ὅμως εἶναί τι δύσκολον. Ἂν μοι συγχωρηθῇ μικρὰ νὰ συγκρίνω μὲ μεγάλα, κάμνω καθαρωτέραν τὴν ἰδέαν μου. Μεταβολὰς εἰςήγαγεν εἰς τὸ πολίτευμα τῶν Ἀθηνῶν ὁ Σόλων μεταρρυθμίσας τὸ τοῦ Δράκοντος, μεταβολὰς εἰς τὸ τοῦ Σόλωνος ὁ Κλεισθένης, μεταβολὰς εἰς τὸ τοῦ τελευταίου ὁ Ἀριστείδης καὶ Περικλῆς· μεταβολὰς δὲ εἰς τὸ τοῦ Περικλέους καὶ ὁ Κλέων καὶ κατόπιν Ἀντιφῶν μετὰ τῶν τετρακοσίων. Τίς δὲ ἀμφιβάλλει, ὅτι πάντες οἱ πολιτικοὶ οὗτοι ἄνδρες μεταβάλλοντες τὰ καθεστῶτα, δὲν ἐπίστευαν, δὲν εἶχαν

μάλιστα τὴν πεποίθησιν, ὅτι διορθώνουσι, βελτιώνουσι τὸ πολίτευμά; Καὶ ὅμως ἡ ἱστορία ἔρχεται κατόπιν καὶ διδάσκει, ὅτι μεταβολαὶ μόλις μέχρι Περικλέους ἐγίγναντο πρὸς τὸ καλλίτερον· ἀπ' αὐτοῦ δὲ μέχρι τῶν ἐσχάτων τυχῶν τῆς ἐνδόξου πόλεως, πᾶσα μεταβολὴ ἦτο χειροτέρευσις. Διότι ἡ φρόνησις ἀπαιτεῖ νὰ χωρῶμεν εἰς τὰς μεταρρυθμίσεις μετὰ δισταγμοῦ καὶ περισκέψεως, διότι καὶ ἄλλοι κίνδυνοι ἐνυπάρχουσιν εἰς αὐτάς. Ἐγγὺς π. χ. εἶναι τοῦτος, μὴ ἐν τῷ ὑπερβολικῷ ζήλῳ ἡμῶν πρὸς τὰ τελειότερα, εἰςαγάγωμεν διοργανισμὸν καὶ μέθοδον ἄλλων καταστημάτων ἄλλου ἔθνους καὶ κράτους, ὅστις κάλλιστος δι' οὓς συνετάχθη καὶ ὑπάρχει ἐν χρήσει, δι' ἡμᾶς ἀνθρώπους ἄλλης οἰκονομικῆς καὶ ἠθικῆς καταστάσεως, καὶ ὑπὸ ἄλλας πολιτικὰς σχέσεις ζῶντας νὰ ἁρμόζῃ σωστά, ὡς στολὴ λαμπρὰ ἀνδρὸς τελείου καὶ ἀκμαίου εἰς παιδίον δωδεκαετές. Ἀπὸ δὲ τὸν κίνδυνον τοῦτον πρέπει τόσον μᾶλλον νὰ φυλαγώμεθα, ὅσον σήμερον εἶναι εὐκολωτέρα ἡ συγκοινωνία καὶ μὲ τὰ πέρατα τοῦ κόσμου, καὶ ὅσον εὔκολος εἶναι ἡ ἀντιγραφὴ διοργανισμοῦ τινος, καὶ ἡ ἀνάγνωσις καὶ μάθησις μιᾶς τινος θεωρίας περὶ ἀγωγῆς καὶ ἀνατροφῆς. Διότι ἐν κοινωνίᾳ, ὁποῦ αἱ εἰδικαὶ γνώσεις εἰσέτι δὲν ἀπεκτήθησαν, καὶ πρακτικώτερον πνεῦμα δὲν ἀνεπτύχθη, ἡ δ' ἀνωτέρα παιδεία καὶ ἐπιστήμη ἔξωθεν, ὡς δένδρον ξένον μεταφυτευόμενον δὲν ἐγκλιματίσθη ἀκόμη, ἐκεῖ ἀντὶ νὰ μεταρρυθμίζωσιν, ἐγκαταλαμπάνουσι συνήθως τὰ ἄχρι τοῦδε ἐν χρήσει, καὶ εἰςάγουσι ξένα. Διότι τοῦτο εἶναι εὔκολον, ἐν ᾧ ἡ κυρίως μεταρρύθμισις, νὰ διακρίνωσιν εἰς τὰ καθεστῶτα μεταξὺ τῶν καλῶς κειμένων τὰ ἀνάρμοστα καὶ ἄσκοπα διὰ τὰς νέας σχέσεις, εἰς ἃς εἰςῆλθεν ἡ κοινωνία, καὶ ταῦτα καταργοῦντες νὰ ἀντικαταστήσωσι μὲ ἄλλα, ὄχι ἀντιγεγραμμένα, ἀλλ' ἐξηγμένα ἀπὸ τῆς φύσεως αὐτῆς τῆς κοινωνίας, ὥστε καὶ νὰ ἁρμόζωσιν εἰς τὴν κατάστασιν αὐτῆς καὶ τὰς σχέσεις, καὶ μὲ τὴν βάσιν τοῦ παλαιοῦ συστήματος νὰ μὴ ἀντιμάχωνται, τοῦτο, ὡς πᾶς τις εὐκόλως ἐννοεῖ, ἀπαιτεῖ καί

τινα πρακτικὴν δεξιότητα. Ἀλλ' ἡμεῖς πᾶσαν σοφίαν ἐκ τῶν βιβλίων ἀρυόμενοι, καὶ διὰ τοῦτο πλούσιοι εἰς θεωρίας, πτωχοὶ δὲ εἰς ἐμπειρικὰς καὶ πρακτικὰς γνώσεις παίρνομεν συνήθως τὸν ἕτοιμον δρόμον, ὃν ἄλλα ἔθνη ἔκαμαν δι' ἑαυτὰ ἐπὶ ἵππων καὶ ἁμαξῶν πορευόμενα, χωρὶς νὰ στοχασθῶμεν παντάπασιν, ἂν ἡμεῖς, πτωχοὶ καθὼς εἴμεθα, ἐμποροῦμεν νὰ διανύσωμεν αὐτὸν πεζοὶ καὶ πολλάκις οὐδὲ καλῶς ὑποδεδεμένοι.

Ἀπὸ τοιαῦτα ἀτοπήματα θέλων νὰ προφυλάξω ἐτόλμησα νὰ παρουσιασθῶ σήμερον ἐνώπιον τοῦ φιλομούσου ἀκροατηρίου νὰ ἐκθέσω πρῶτος τὴν γνώμην μου περὶ τῶν προτιθεμένων μεταρρυθμίσεων τῶν ἐκπαιδευτικῶν καταστημάτων τῆς πόλεως, ἵνα δώσω ἀφορμὴν εἰς σοφωτέρους καὶ ἐμπειροτέρους συναδέλφους τε καὶ μὴ, νὰ εἴπωσιν ἐν καιρῷ τῷ δέοντι σοφώτερα καὶ πρακτικώτερα.

Ἀνάγκη δὲ πρὸς τοῦτο, νὰ ἔχωμεν ὡρισμένην καὶ καθαρὰν ἰδέαν, τίς ὁ σκοπὸς ἐν γένει τῆς ἐκπαιδεύσεως, καὶ ἰδίως ἔπειτα ἑνὸς ἑκάστου τῶν διαφόρων καταστημάτων αὐτῆς, ἤτοι τῶν *δημοτικῶν ἢ ἀλληλοδιδακτικῶν, τοῦ σχολείου καὶ τοῦ γυμνασίου*. Διότι τότε καὶ ὀρθότερον κρίνομεν ποῖα τοῦ διοργανισμοῦ ἔχουσι καλῶς καὶ ποῖα χρειάζονται διόρθωσιν, καὶ ἀσφαλέστεροι εἴμεθα εἰς τὰς τροποποιήσεις καὶ μεταβολάς.

Ἀνάγκη οἱ μέλλοντες νὰ ἀναθεωρήσωσι τὰ τῆς ἐκπαιδεύσεως νὰ συμφωνήσουν κατὰ πρῶτον εἰς τοῦτο· διότι ἄλλως ἡ συζήτησις ἐμπορεῖ νὰ μεταβληθῇ εἰς φιλονεικίαν ἰσχυρογνώμονα, καὶ νὰ παρεκτραπῇ εἰς ἀγῶνα φιλοτιμίας. Ἂν π. χ. σκοπὸν τῶν *ἀλληλοδιδακτικῶν* θεωρῇ ἕνας, τὸ νὰ προπαρασκευάζῃ τοὺς νέους διὰ τὸ *ἑλληνικὸν*, δὲν ἐμπορεῖ νὰ συμφωνήσῃ ποτὲ εἰς τὰ περὶ κανονισμοῦ αὐτοῦ μὲ ἄλλον, ὅστις νὰ θέτῃ ἰδιαίτερον, ξεχωριστὸν σκοπὸν εἰς ταῦτα. Ἂν συμφωνῶμεν ὅμως εἰς τὸν σκοπὸν, αἱ γνῶμαι περὶ τῶν καταλληλοτέρων μέσων πρὸς ἐπίτευξιν αὐτοῦ δὲν θὰ διαφέρωσί ποτε εἰς βαθμὸν ὁποῦ νὰ μὴ ἐμπορῇ νὰ συμβιβασθῶσι.

Τίς εἶναι λοιπὸν ὁ σκοπὸς τῶν ἐκπαιδευτικῶν καταστημάτων; Ὅπως διατυπώσῃ τις τοῦτον, στοχάζομαι ὅτι δὲν ἐμπορεῖ νὰ ἀποκλείσῃ τὴν ἔννοιαν, ὅτι τὰ ἐκπαιδευτικὰ καταστήματα σκοπὸν ἔχουν νὰ ἐξακολουθήσωσι καὶ τελειώσωσι τὴν κατ' οἶκον ἀνατροφήν.

Ἡ κατ' οἶκον ἀνατροφὴ εἶναι ἡ πρώτη διδασκαλία τοῦ νέου ἀνθρώπου. Ἐν τῇ οἰκογενείᾳ μανθάνομεν νὰ γνωρίζωμεν τὰ πρῶτα ἀντικείμενα, καὶ νὰ ὀνομάζωμεν αὐτά· νὰ διακρίνωμεν τί τὸ ποιοῦν λύπην καὶ τί τὸ ποιοῦν ἡδονήν· νὰ ἀγαπῶμεν ὅ,τι μᾶς συνιστῶσιν ὡς καλὸν, καὶ νὰ μισῶμεν ὅ,τι μᾶς παριστῶσι κακόν· νὰ ἤμεθα ὑπερήφανοι καὶ ἀγαλλώμεθα, ὅτι ἔχομεν τὴν συνείδησιν, ὅτι ἐπράξαμεν, ὅπερ τιμῶσι καὶ ἐπαινοῦσιν οἱ γονεῖς· νὰ αἰσχυνώμεθα καὶ νὰ τολμῶμεν οὐδὲ εἰς τὸ πρόσωπον νὰ τοὺς ἴδωμεν διὰ τὸ ἐναντίον.

Ἡ δὲ ἀνατροφὴ καθόλου προσπαθεῖ νὰ μορφώσῃ χαρακτῆρα ἠθικόν· ἐκ τῶν πολλῶν καὶ διαμαχομένων ὀρέξεων καὶ θελήσεων τῆς ψυχῆς νὰ δώσῃ εἰς μίαν τὴν *θέλησιν τοῦ ἀγαθοῦ*, τὰ σκῆπτρα τοῦ κράτους αὐτῆς, καὶ νὰ περιβάλῃ αὐτὴν μὲ τοσαύτην ἰσχύν, ὥστε πᾶσα ἄλλη θέλησις νὰ μὴ ἔχῃ δύναμιν νὰ παρασύρῃ καὶ νὰ βιάζῃ τὴν ψυχὴν εἰς λόγους καὶ πράξεις μὴ συμφωνούσας πρὸς τὸ δίκαιον καὶ εὐπρεπές. Οὕτως ἀπὸ μικρῶν ἡμερῶν ἐξεγείρουσα ἐν τῷ ἀνθρώπῳ ἀγάπην πρὸς τὸ τελειότατον ὄν, τὸν Θεὸν, τὴν πηγὴν παντὸς ἀγαθοῦ, καὶ μὲ τὴν ἀνάπτυξιν τοῦ νοητικοῦ ἐγχαράσσουσα εἰς τὴν καρδίαν αὐτοῦ φρόνημα ὑγιῶν ἀρχῶν προετοιμάζει τὴν ὁδὸν εἰς πράξεις, αἵτινες νὰ μαρτυρῶσιν, ὅτι ἐν τῷ ἀνθρώπῳ ὑπάρχει καί τι ὑπέρτερον καὶ ἐξαρτώμενον ἐκ τῆς ὕλης. Ἀνάπτυξις τοῦ νοὸς λοιπὸν καὶ μόρφωσις τῆς καρδίας εἶναι ἐν συντόμῳ τὰ στοιχεῖα τῆς ἀνατροφῆς καθόλου. Τέλειον μὲν κἀνὲν τούτων δὲν δύναται νὰ ἀναπτυχθῇ ἄνευ τοῦ ἑτέρου· ἀλλ' ὁ κόσμος εἶναι ποικίλος, καὶ κατὰ τὰς περιστάσεις καὶ διαθέσεις δίδεται προσοχὴ καὶ σκοπεῖται μᾶλλον πότε τὸ ἓν καὶ πότε τὸ ἄλλο.

Ἀπὸ δὲ τῆς θεωρίας ταύτης κατερχόμενος εἰς τὰ καθ' ἡμᾶς, δυσκολεύομαι ν' ἀποφασίσω, ἂν ἐν τῇ πόλει μας ὑπάρχουσιν εἰς τὴν συνείδησιν τοῦ λαοῦ καὶ τὰ δύο στοιχεῖα τῆς ἀνατροφῆς, ἣν εἶναι ὡρισμένα νὰ δίδωσι τὰ ἡμέτερα Σχολεῖα. Δὲν ἐξεύρω δηλ. ἂν ἕνας ἀπὸ τοὺς πολλοὺς στέλνων τὸν υἱόν του εἰς τὸ σχολεῖον κάμνει τοῦτο μὲ τὸν σκοπόν, ἵνα μάθῃ μαζί μὲ τὰ γράμματα καὶ ἤθη χρηστά, εὐσέβειαν πρὸς τὸν Θεὸν, εὐπείθειαν πρὸς τοὺς γονεῖς, νὰ σέβηται τοὺς μεγαλειτέρους, νὰ ἦναι κόσμιος καὶ εὐσχήμων εἰς πράξεις καὶ εἰς λόγους ὁ υἱός του. Διότι πολλοὺς μὲν ἐν τῇ πόλει ἤκουσα νὰ ἐκφράζουν φόβους, μὴ διαφθαρῶσι τὰ τέκνα των ἐν τῷ σχολείῳ, κανέναν ὅμως νὰ περιμένῃ τὸν σωφρονισμόν των ἐν αὐτοῖς.

Ἀλλ' εἰς τὰ χωρία, τὸ ἐξεύρω πολὺ καλά, οἱ ἄνθρωποι στέλνουν τὰ παιδιά των εἰς τὸ σχολεῖον μὲ τὸν διπλοῦν σκοπόν, καὶ ὁ διδάσκαλος μάλιστα πρὶν εἰσαχθῇ ἡ νέα ἀλληλοδιδακτικὴ μέθοδος, ὅταν ἦτον ἀκόμη ἐν χρήσει ἡ παλαιὰ, ἡ ἑλληνικὴ ἀλληλοδιδακτικὴ ἤτοι τὰ *κοινὰ* λεγόμενα *γράμματα*, ἐθεώρει ὡς σπουδαιότερον καθῆκόν του τὴν διδασκαλίαν καὶ ἄσκησιν τῶν μαθητῶν εἰς τὰ χρηστὰ ἤθη. Ξένος μὲ νοῦν παρατηρητικὸν διακρίνῃ, παίκτα τὰ παιδιά, ὁποῦ θὰ ἀπήντα εἰς τὸν δρόμον, ὑπάγουν εἰς τὸ σχολεῖον, καὶ ποῖα ὄχι. Τὰ πρῶτα μὲ χεῖρας σταυρωμένας ἢ ἐταβοῦσαν ἐν εὐταξίᾳ τὸν δρόμον των διὰ τὰ σπίτιά των, ἢ καὶ ἂν ἐστέκοντο νὰ παρατηρήσουν τί περίεργον, ἡ κοσμιότης καὶ εὐσχημοσύνη δὲν τὰ ἄφινεν. Ἐν ᾧ οἱ μὴ μαθηταὶ θὰ ἐχαλοῦσαν τὸν κόσμον μὲ τὰς ἀγρίας φωνάς των, καὶ μὲ λιθάρια εἰς τὰ χέρια θὰ ἐκύτταζαν δεξιὰ καὶ ἀριστερὰ μὴ νὰ διαβῇ ἡ σκύλος τῆς γειτονιᾶς ἢ κόττα, διὰ νὰ αἰσθανθῶσι τὴν ἀγρίαν εὐχαρίστησιν νὰ τὰ κτυπήσουν καὶ νὰ τὰ σκοτώσουν, ἂν ἠδύναντο.

Καὶ ποῦ μὲν ἡ αἰτία τῆς διαφορᾶς μεταξὺ τῆς πόλεως καὶ τῶν χωρίων, ἐν ἁρμοδιωτέρῳ τόπῳ. Τώρα ὅμως κυττάξετε, ὅτι, ἀφ' οὗ ἡ κατάστασις τῶν κατωτέρων σχολείων τῆς πόλεως

εἶναι, ὡς ἐξέθηκα, ἂν προτείνω νὰ τεθῇ ὡς σκοπὸς καὶ ἐπὶ τῆς αὐτῆς γραμμῆς καὶ τὸ ἕτερον σχολεῖον τῆς ἀνατροφῆς, τὸ τῆς *μορφώσεως τῆς καρδίας*, τὸ θρησκευτικὸν καὶ ἠθικὸν, δὲν προτείνω ξένον τι μεταφερμένον ἐκ τῆς Γερμανίας, ἀλλ' ἐντόπιον, ἀλλὰ γνήσιον ἠπειρωτικὸν, ὅπερ ἡ εἰσαγωγὴ ξένου τρόπου διδασκαλίας ἐν ἐσχάταις ἡμέραις παρηγκώνισε. Καὶ νά, τοῦτο εἶναι μία μικρὰ ἀπόδειξις τοῦ κινδύνου, ὃν ἔχουσιν αἱ κακῶς γενόμεναι μεταῤῥυθμίσεις.

Τὰ σχολεῖά μας ἔχομεν εἰς τρεῖς τάξεις διῃρημένα, τὰ ἀλληλοδιδακτικὰ, τὸ ἰδίως σχολεῖον καὶ τὸ γυμνάσιον. Ἐὰν πάντα ἐπιδιώκουσιν ἕνα καὶ τὸν αὐτὸν σκοπὸν, τὸν γενικὸν σκοπὸν τῆς ἐκπαιδεύσεως καὶ ἀνατροφῆς, τότε ἀνάγκη νὰ ἔχωσι πρὸς ἄλληλα, ὡς αἱ κλάσεις τοῦ σχολείου ἢ τοῦ γυμνασίου πρὸς ἀλλήλας, ἤτοι νὰ ἦναι βαθμίδες μιᾶς καὶ τῆς αὐτῆς κλίμακος. Πολλὰ ἔχω τεκμήρια, ὅτι ἐν τῷ διοργανισμῷ τῷ ἐν τῇ πράξει τοὐλάχιστον, κεῖται τοιοῦτόν τι ὡς ἀρχή. Καὶ πρῶτον μεταξὺ τοῦ σχολείου καὶ τοῦ γυμνασίου δὲν ὑπάρχει σύνορον εὐδιάκριτον ὑπὲρ τὴν γῆν ὑψούμενον, οὐδὲ ξεχωριστὴ κεφαλὴ ἑκάστου αὐτῶν. Ἔπειτα πολλὰ τῶν μαθημάτων ἀρχίζουσιν ἐν τῇ τρίτῃ τοῦ σχολείου καὶ τελειώνουσιν ἐν τῇ πρώτῃ τοῦ γυμνασίου, ὥστε αὐτοτελές τι καθ' ἑαυτὸ δὲν ἀποτελεῖ τὸ ὀνομαζόμενον σχολεῖον, οὐδὲ θεωρεῖται ὑπὸ τοῦ λαοῦ ὡς τοιοῦτον. Ἐκεῖνο ἐν τούτοις, ὁποῦ ἐγὼ εὑρίσκω ἐνταῦθα ἄτοπον, εἶναι τὸ ἰδιαίτερον ὄνομα, τὰ δ' ἄλλα κατὰ τὴν ἀρχὴν, ἤτις εἶναι ἡ βάσις τοῦ διοργανισμοῦ, ἔχουσι καλῶς. Τὰ ἀλληλοδιδακτικά, χωριζόμενα τοπικῶς καὶ διακρινόμενα διὰ τοῦ τρόπου τῆς διδασκαλίας καὶ τὸ ἀντικείμενον αὐτῆς, φαίνονται αὐτοτελῆ· ἀλλὰ φαίνονται μόνον, πράγματι δὲ ἔχουσι καὶ ταῦτα τὴν αὐτὴν σχέσιν πρὸς τὸ σχολεῖον, ἣν τοῦτο πρὸς τὸ γυμνάσιον. Καὶ ἀπόδειξις τούτου, ὅτι κατὰ Σεπτέμβριον ἄλλοτε ἐμεταβαίναμεν ἐκεῖ, καὶ δὲν ἐζητοῦμεν ἄλλο παρὰ ταῦ διδασκάλου ἢ ἂν ἔχει μαθητὰς νὰ *καταιβάσῃ εἰς τὸ ἑλληνικόν*. Κατὰ τὰ

τελευταῖα δὲ ἔτη τὴν σχέσιν ταύτην ἐκάμαμεν ἔτι στενωτέραν. διότι σήμερον ἡ μεθαύριον τί θὰ ὑπάγωμεν νὰ ἐξετάσωμεν εἰς τ' ἀλληλοδιδακτικά; *Τὴν πρώτην κλάσιν τοῦ ἑλληνικοῦ σχολείου.* Σκοπὸν λοιπὸν τ' ἀλληλοδιδακτικὰ ἔχουν νὰ προπαρασκευάζωσι μαθητὰς διὰ τὸ ἑλλ. σχολεῖον. Ὥστε ἂν συνείχοντο καὶ τοπικῶς μὲ τῆς Ζωσιμαίας σχολῆς τὸ οἰκοδόμημα, ὁ λαὸς θὰ τὰ ὠνόμαζε πάντα, ὡς καὶ τῷ ὄντι εἶναι ὀργανικῶς, ἕνα σχολεῖον μὲ δεκαὲξ κλάσεις, ὧν αἱ τελευταῖαι θὰ ἦσαν, ὡς εἶναι, διηρημέναι εἰς τμήματα.

Λέγων δὲ ταῦτα, κύριοι, δὲν θέλω νὰ ψέξω κἀνέναν, οὐδὲ διδάσκαλον, τοὺς ἐφόρους; Θεὸς φυλάξῃ. Ἀπ' ἐναντίας ἐγὼ ἐνορῶ εἰς τοῦτο μίαν ἀρετὴν προγονικήν. Ὁ διοργανισμὸς οὗτος εἶναι ἀπόρροια τοῦ ἐθνικοῦ χαρακτῆρος ἡμῶν· διότι ὁμολογοῦσι πάντες, καὶ οἱ ἐχθροὶ τοῦ ἔθνους αὐτοί, ὅτι εἴμεθα φίλοι τῆς ἰσότητος καὶ δὲν ἀνεχόμεθα διακρίσεις. Καὶ αἱ ἀρχαῖαι δημοκρατίαι εἶχαν ὀργανισμὸν κατὰ τὴν αὐτὴν βάσιν, καὶ πάντες οἱ πολῖται, πλούσιοι καὶ πτωχοί, ἐλάμβαναν τὴν αὐτὴν ἀνατροφήν· εἶναι δὲ ἄλλο, ἂν τινες τῶν πλουσίων ἐσπούδαζαν ἰδιαιτέρως φιλοσοφίαν καὶ ῥητορικήν· διότι ταῦτα ἀντιστοιχοῦσι πρὸς τὰς νεωτέρας ἐπιστήμας, τὰς ἐν τοῖς πανεπιστημίοις.

Ἀλλά, κύριοι, ἡ διαφορὰ μεταξὺ τοῦ σημερινοῦ καὶ τοῦ παλαιοῦ κόσμου εἶναι τόση, ὅσον καὶ τὸ χωρίζον ἡμᾶς ἀπ' ἐκείνου χρονικὸν διάστημα. Μίαν καὶ τὴν αὐτὴν ἀνατροφὴν νὰ λαμβάνωσι πάντες οἱ πολῖται ἀνεξαιρέτως καθίστα δυνατὸν παρὰ τοῖς ἀρχαίοις ἡ ὕπαρξις τῆς δουλείας. Ἡ ἀρχαία πολιτεία ἀνεγνώριζε μίαν μόνην τάξιν πολιτῶν καὶ περὶ αὐτῆς μόνης ἐφρόντιζε. Διὰ τοῦτο τὰ πάντα ἦσαν ἁπλᾶ ἐν αὐτῇ, πάντα τὰ καταστήματα τῆς ἀνατροφῆς ἦσαν διάφοροι βαθμῖδες φέρουσαι εἰς ἓν καὶ τὸ αὐτὸ τέλος· διότι περὶ συμφερόντων μιᾶς μόνης τάξεως τῶν ἐλευθέρων ἐλαμβάνετο φροντίς. Ἀλλὰ σήμερον τοῦτο εἶναι ἀδύνατον, ἀνέφικτον· διότι ἡ σημερινὴ κοινωνία ἱδρύθη ἐπὶ εὐρυτέρων βάσεων· καὶ ἐκ τούτου ἐν τῇ σκηνῇ τῆς νέας πο-

λιτείας πᾶσαι αἱ τάξεις, ἃς ἡ φύσις αὐτὴ καὶ τὰ ἁμαρτήματα ἑνὸς ἑκάστου γεννῶσιν, ἔχουσι δικαιώματα. Ὅθεν ἡ πολιτεία, ὡς κεφαλὴ τοῦ ὅλου πολιτικοῦ σώματος, ἔχει τὸ καθῆκον νὰ φροντίζῃ περὶ πάντων τῶν μελῶν, ἐξασφαλίζουσα ζωήν, τιμὴν καὶ περιουσίαν, ὑπερασπίζουσα τὰ συμφέροντα καὶ προάγουσα τὴν εὐδαιμονίαν μιᾶς ἑκάστης, ἀλλ' ἐν τοιαύτῃ ἁρμονίᾳ πάντοτε, ὥστε νὰ προκύπτῃ ὡς ἀποτέλεσμα ἡ εὐτυχία τοῦ ὅλου κράτους.

Τὰ διάφορα λοιπὸν ἐν Εὐρώπῃ ἐκπαιδευτικὰ καταστήματα ἔχουσι καὶ ἰδιαίτερον, αὐτοτελῆ, σκοπόν, ἕκαστον χρήσιμον ὂν ἰδίως εἰς μίαν τάξιν τῆς κοινωνίας. Ἡμεῖς, οἵτινες μιμούμεθα, εἰς πάντα δηλ. τὰ εὔκολα, τὸν πολιτισμένον κόσμον, παρελάβαμεν καὶ τοῦτο καὶ διηρέσαμεν τὰ σχολειά μας εἰς τρεῖς κλάσεις· ἀλλ' εἴτε δὲν ὑπῆρχαν παρ' ἡμῖν διακεκριμέναι αἱ τῆς κοινωνίας τάξεις, εἴτε ἐπειδὴ τὸ ἀρχαῖον σύστημα τῶν προγόνων κατὰ παράδοσιν διασωζόμενον εἶχε βαθείας ῥίζας εἰς τὴν ψυχὴν τοῦ ἔθνους, δὲν ἐδώκαμεν εἰς ἕκαστον ἰδιαιτέραν ἐντολήν, ὅπως ἔχουσιν εἰς τοὺς τόπους, ὁπόθεν τὰ ἐπήραμεν.

Καὶ ποῖα μὲν ἄλλα ἀποτελέσματα ἔχει τοῦτο, θὰ ἐκθέσωμεν κατωτέρω· κατὰ τὸ παρόν, ὡς ἴδωμεν, εἰς ποίαν κατάστασιν ἐλεεινὴν ἔφερε τὴν δημοτικὴν παιδείαν, ἥτις πρὸ πάντων πρέπει νὰ ἦναι τὸ μέλημα τῆς πόλεως, διότι αὕτη περιλαμβάνει σύμπαντα τὰ μέλη τῆς κοινωνίας καὶ οἱ περισσότεροι εἰς τοὺς κόλπους αὐτῆς μόνης ἐκπαιδεύονται.

Μὲ τ' ἀλληλοδιδακτικὰ ἀντικατεστήσαμεν τὰ *κοινὰ* λεγόμενα *σχολεῖα*. Ἂν πρὸς ὠφέλειαν τῆς κοινωνίας ἢ πρὸς βλάβην, τοῦτο ἔλθετε νὰ θεωρήσωμεν. Εἰς τὸ *κοινὸν σχολεῖον* ἐμάνθανον οἱ νέοι ἄνθρωποι τὴν μὲν ἀνάγνωσιν εἰς τὰ ἱερὰ βιβλία, εἰς τὰ βιβλία τῶν ἀκολουθιῶν, ὀκτώηχον, ψαλτήριον· τὴν δὲ γραφήν, ἐν ᾧ ἠσκοῦντο εἰς τὸ συντάσσειν ἐπιστολάς, ὁμόλογα χρεωστικά, πωλητήρια, προικοσύμφωνα κατὰ τὰς *ἐπιδειγμὰς* ἢ *ἐπιτιθημὰς* τοῦ διδασκάλου, αἵτινες διελάμβαναν περὶ τοιού-

των ἀντικειμένων, γραμμένας εἰς τὴν γλῶσσαν τοῦ λαοῦ τὴν ἁπλῆν, τὴν δημοτικήν. Ὁ διδάσκαλος ἐδίδασκε καὶ ἤσκει μάλιστα τοὺς μαθητὰς εἰς τὴν δικαιοσύνην καὶ τὴν φιλαλήθειαν δικάζων καὶ τιμωρῶν οὐ μόνον διὰ πραχθέντα ἐντὸς τοῦ σχολείου, ἀλλὰ καὶ ὅταν ἠδίκει τις μαθητὴν ἢ ἄλλον ἔξω τοῦ σχολείου. Ἐπετήρει αὐτοὺς ἂν φυλάττουσι κοσμιότητα πανταχοῦ, εὐταξίαν ἐν τῇ ἐκκλησίᾳ καὶ εὐπείθειαν ἐν τῷ πατρικῷ οἴκῳ. Ὥστε ὁ διδάσκαλος ἦτον ἀστυνόμος καὶ δικαστὴς τῶν παιδιῶν τοῦ χωρίου τιμωρῶν πολλάκις μετ' αὐστηρότητος. Καὶ οὕτω μὲν πρὸς τοὺς μικροτέρους καὶ ἀρχαρίους, ἀλλ' ὅταν τις ἐπλησίαζε νὰ τελειώσῃ τὰ γράμματα τοῦ κοινοῦ σχολείου (καὶ ἐξεύρετε, ὅτι ἐτελείωναν μὲ τὸ *μέγα Ὡρολόγιον*), ὁ διδάσκαλος δὲν ἐφέρετο πρὸς αὐτὸν πλέον μὲ τὴν πρώτην αὐστηρότητα, ἀλλ' ἐπειδὴ ἐπλησίαζαν νὰ γείνωσιν ἴσοι εἰς τὰ γράμματα, ἐφέροντο πρὸς ἀλλήλους καὶ ὡς φίλοι. Ἐδιηγεῖτο ὁ διδάσκαλος π. χ. κἀνένα συναξάριον ἀπὸ τὸ *Λαυσαϊκὸν* ἢ ἀπὸ κἀνένα *πατερικόν*· πολλάκις καὶ ἀνεγίγνωσκαν ὁμοῦ δύσκολόν τι βιβλίον, οἷον τὸν *Χρονογράφον*, τὴν ἱστορίαν τοῦ Παληουρίτου, καὶ ὁ διδάσκαλος ἔλυε τὰς ἀπορίας τοῦ μαθητοῦ, ὅσον ἠξευρε καὶ ὅπως ἐμποροῦσε. Κύριοι, δὲν εἶναι ταῦτα πράγματα διὰ νὰ γελᾶτε· διότι εἰς τέτοιο σχολεῖον ἔμαθε καὶ τὰ γράμματα ὁ Καπλάνης καὶ οἱ Ζωσιμάδαις καὶ τὴν ἀρετὴν νὰ ἀγαπῶσι τὸν πλησίον ὡς ἑαυτοὺς, ὡς διὰ τῶν ἔργων των ἔδειξαν· ἀλλὰ μᾶλλον σκεφθῆτε, ἂν τὸ ἄτεχνον καὶ φυσικὸν τοῦτο κοινὸν σχολεῖον ἦτον *αὐτοτελὲς καὶ σκόπιμον*, ἂν παρεῖχε δηλ. εἰς μίαν τάξιν τῆς κοινωνίας τόσας γνώσεις, ὅσας ἐκείνη ἐχρειάζετο, καὶ ἂν ἔκαμνε τὰ δυνατά του νὰ μορφώσῃ καλοὺς χριστιανοὺς καὶ ἀγαθοὺς ἀνθρώπους, καὶ πιστεύω νὰ μὴ ἦναί τις τῶν παρόντων ν' ἀρνηθῇ τοῦτο. Ἂς θαυμάσωμεν λοιπὸν τὸν ὀρθὸν καὶ ὑγιᾶ νοῦν τοῦ ἠπειρωτικοῦ λαοῦ, ὅστις χωρὶς θεωρίας, χωρὶς πείρας, κατ' αἴσθημα κρίνων ἔδωκεν εἰς τὸ σχολεῖόν του ἐντολὴν, ἣν καὶ ὁ φωτισμένος κόσμος κατ' ἐπιστήμην δίδει σήμερον.

Διότι τὸ κοινὸν σχολεῖον ἐμπεριελάμβανε καὶ τὰ δύο στοιχεῖα τῆς ἀνατροφῆς, *ἀνάπτυξιν τοῦ νοὸς*, διδάσκον ἀνάγνωσιν καὶ γραφὴν, χρήσιμα εἰς τὸν βίον πράγματα, καὶ *μόρφωσιν καρδίας*, ἐξεγεῖρον σέβας καὶ εὐλάβειαν πρὸς τὰ θεῖα, ἀσκοῦν εἰς τὴν δικαιοσύνην, τὴν τάξιν καὶ τὴν εὐκοσμίαν. Καὶ εἶναι δύσκολον ν' ἀποφασίσῃ τις, ποῖαν προέτασσε τοῦ ἑτέρου. Ἀλλὰ τούτου ἀναγνωρισθέντος κατώρθωνε τάχα τὸ κοινὸν σχολεῖον νὰ φθάσῃ εἰς τὸν προτιθέμενον σκοπόν; Κύριοι, ὁ ὁμιλῶν πρὸς ὑμᾶς τὴν πρώτην δημοτικὴν παιδείαν ἔλαβεν εἰς κοινὸν σχολεῖον, καὶ μὲ ταύτην μόνην ἦτο δεξιὰ χεὶρ τοῦ ἱερέως εἰς τὴν ἐκκλησίαν. Νὰ ἔλειπε μίαν ἑορτὴν ἀπὸ τὴν ἀκολουθίαν ἢ λειτουργίαν, ἐκείνη ἡ ἡμέρα ἦτο δι' αὐτὸν ἡμέρα θλιβερά. Δὲν ἐνθυμεῖταί ποτε νὰ ἐγβῆκεν ἀπὸ τὸ στόμα του ἄσεμνος ἢ ἄπρεπος λόγος, ὡς καὶ νὰ παίξῃ δὲν ἐτολμοῦσε καλὰ καλὰ, διότι ὁ διδάσκαλος τὸ ἀπηγόρευεν. Ἀφ' ἑτέρου ἔγραφε συμβόλαια, ἐπιστολὰς, εἰς τὴν μητέρα του καὶ βάθω ἐδιηγεῖτο συναξάρια καὶ τεμάχια ἀπὸ τῆς ἱερᾶς ἱστορίας. Μὲ ἕνα λόγον ἐμποροῦσε νὰ ἦναι γραμματικὸς ἑνὸς χωριοῦ καὶ ἕνας ἀξιόλογος ἱεροκήρυκας διὰ συναξάρια.

Ἀλλ' ἴσως τινὲς τῶν κυρίων σκύψαντες εἰς τὸ αὐτὶ τοῦ παρακαθημένου εἶπαν· «Ὁ διδάσκαλος εἰς χωριὸ ἐγεννήθη καὶ περὶ χωριῶν ὁμιλεῖ· λησμονεῖ ὅτι ἔχει ἐνώπιόν του Ἰωαννίτας. Τί ἔχουν νὰ κάμουν τὰ τοῦ χωριοῦ του μὲ τὰ ἰδικά μας πράγματα; Μᾶς προσβάλλει χωρὶς ἄλλο. Οἱ ἔφοροι, ἂν εἶναι καλοὶ πατριῶται, πρέπει νὰ τοῦ δώκουν τὰ παπούτσια εἰς τὰ χέρια· γιατὶ ἀγάλια ἀγάλια θὰ μᾶς εἴπῃ, πῶς καὶ τὸ σχολεῖον τοῦ χωριοῦ του ἦταν καλλίτερον ἀπὸ τὸ κεντρικὸν τοῦ Κεφάλα.»

Τοὺς κυρίους τούτους παρακαλῶ νὰ μὲ συγχωρήσουν, ἂν ἡ ἀνάγκη μὲ ἔφερε νὰ λάβω ὡς παράδειγμα τὸ κοινὸν σχολεῖον τῆς Γραμμένου. Δὲν ἔφθακα τὰ κοινὰ σχολεῖα τῶν Ἰωαννίνων, καὶ διὰ τοῦτο ἐγβῆκα εἰς τὰ χωριὰ νὰ συνάξω τὰς ἀποδείξεις τοῦ θέματός μου. Ἂν παραδέχεσθε ἐν τούτοις, ὅτι τὰ τῶν Ἰω-

αννινίων κοινὰ σχολεῖα ἦταν καλλίτερα ἀπὸ τὰ τῶν χωριῶν, τότε προεπιμαρτυρεῖτε τὸν λόγον μου, ὅτι οἱ πατέρες ἡμῶν, ὅ,τι ἔκαμναν, ἤξευραν διὰ τί τὸ κάμνουν. Συσταίνοντες σχολεῖον, ὥριζαν αὐτῷ σκοπὸν, τὸν δὲ σκοπὸν διώριζαν ἀπὸ τὰς χρείας τῆς κοινωνίας. Ἀλλ' αἱ ἀνάγκαι τῆς κοινωνίας μὲ τὸν καιρὸν ἔγειναν μεγαλείτεραι καὶ ποικιλώτεραι, καὶ τὰ παλαιὰ σχολεῖα δὲν ἐπήρκουν εἰς ἐκπλήρωσιν αὐτῶν. Ἐγίνετο, καθὼς καλῇ ὥρᾳ εἰς ἡμᾶς, ἐπαισθητὴ ἡ ἀνάγκη τῶν μεταρρυθμίσεων καὶ βελτιώσεων αὐτῶν. Καὶ μίαν ἡμέραν μετὰ μακρὰν συζήτησιν, ἀντὶ νὰ μεταρρυθμίσουν τὸ ἕως τότε ὑπάρχον σύστημα τῆς ἐκπαιδεύσεως, τὸ κατήργησαν παντελῶς, καὶ εἰσήγαγον ἕτοιμον ξένον, τὸ μέχρι καὶ ἡμῶν διατηρούμενον, χωρὶς νὰ ἐξετάσουν, ἂν εἶχέ τι κοινὸν μὲ τὸ παλαιὸν, ἢ τοὐλάχιστον ἂν ἀνταπεκρίνετο εἰς τὰς ἀνάγκας τῆς κοινωνίας. Διωργανισμένα καθὼς εἶναι σήμερον καὶ μὴ ἔχοντα ὡρισμένον ἴδιον σκοπὸν δὲν εἶναι χρήσιμα παντάπασι δι' ἐκείνους, δι' οὓς πρὸ πάντων ἔπρεπε νὰ ἦναι· διότι τὰ γράμματα, ὅσα ἐκεῖ μανθάνουσιν, εἶναι τόσον ὀλίγα, ὥστε δὲν εἶναι ὑπερβολὴ, ἂν εἴπω ὅτι κανένας δὲν ὠφελεῖται ἀπὸ αὐτὰ εἰς τὸν μετὰ ταῦτα βίον του. Πόσοι ἐκ τοῦ ἀλληλοδιδακτικοῦ εἰς τὸν κόσμον ἐμβάντες ἐξεύρουν νὰ ἀναγινώσκουν καὶ νὰ γράφουν; καὶ ἂν μικρὸς ἀριθμὸς, πολλοστημόριον τῶν εἰς αὐτὰ ἐκπαιδευθέντων, ἐμπορῶν ἐν ἀνάγκῃ νὰ γράφουν τὸ ὄνομά των, εἶναι τοῦτο καρπὸς ἀντάξιος τῆς δαπάνης καὶ ἄξιος τῆς πόλεως Ἰωαννίνων, ὧν οἱ κάτοικοι διὰ τὰ ἀνέκαθεν διατηρούμενα σχολεῖα ἔπρεπε νὰ διακρίνωνται μεταξὺ τῶν ἀνθρώπων διὰ τὸ εὐπαίδευτον αὐτῶν; Ἔπειτα δεδόσθω, ὅτι μανθάνουν νὰ γράφωσι καὶ ἀναγινώσκωσιν ἐν αὐτοῖς οὕτως, ὥστε καὶ εἰς τὸν πρακτικὸν βίον νὰ τοῖς χρησιμεύῃ, δὲν εἶναι τάχα σήμερον ἀνάγκη νὰ παρέχηται εἰς τὸν λαὸν εὐρύτερος κύκλος γνώσεων, παρὰ τὸν ὁποῖον ἔδιδαν τὰ κοινὰ σχολεῖα ἄλλοτε; Δὲν εἶναι τελευταῖον χρέος ἱερὸν πάντων τῶν ἐν τοῖς πράγμασι νὰ βελτιώσωσι τὴν

ἠθικὴν κατάστασιν τοῦ λαοῦ, ἐμποιοῦντες τὸν φόβον τοῦ Θεοῦ εἰς τὰς καρδίας τῆς νεολαίας, ὅπως οἱ πατέρες ἡμῶν διὰ μέσων εὐτελῶν ἐπροσπάθουν; Ἢ δὲν ἀναγνωρίζετε, ὅτι ὁ λαὸς ἡμῶν στερεῖται πάσης Θρησκευτικῆς ἀγωγῆς, καὶ ὅτι πᾶς ὁ χριστιανισμὸς αὐτοῦ συγκεφαλαιοῦται εἰς τὴν ἐξωτερικὴν λατρείαν μόνον; Ἀνάγκη καὶ κατεπείγουσα νὰ καταστήσωμεν κοινὰ εἰς τὸν λαὸν τὰς ἀληθείας τῆς ἱερᾶς ἡμῶν Θρησκείας, νὰ διδάξωμεν αὐτὸν τὰ καθήκοντα τοῦ τιμίου ἀνθρώπου καὶ τοῦ ἀληθοῦς χριστιανοῦ, ἐὰν θέλετε νὰ σταματήσωμεν τὸν φοβερίζοντα νὰ μᾶς καταποντίσῃ χείμαρρον τῆς πενίας καὶ διαφθορᾶς.

Καὶ ὅτι περὶ Θρησκευτικῆς καὶ ἠθικῆς ἀγωγῆς τῶν παίδων δὲν γίνεται τίποτε ἐν τοῖς ἀλληλοδιδακτικοῖς, μαρτυρεῖ ἡ κοινὴ γνώμη. Ὅτι δὲ καὶ περὶ τοῦ ἑτέρου στοιχείου τῆς ἀνατροφῆς ὑπάρχουσι μεγάλαι ἐλλείψεις, θὰ ἀπεδείκνυα μὲ πράγματα, ὄχι μὲ λόγους, ἂν διετηροῦντο ἀκόμη εἰς τὰ χωρία τὰ κοινὰ σχολεῖα· διότι θὰ ἔφερνα μαθητὴν ἐξ ἑνὸς αὐτῶν δεκαετῆ, ὅστις νὰ ἀνεγίνωσκεν ἀσφαλέστερον καὶ ταχύτερον καὶ νὰ ἔγραφεν ἑτοιμότερον ἀπὸ μαθητὴν οὐχὶ τοῦ ἀλληλοδιδακτικοῦ, ἀλλὰ καὶ τῆς πρώτης τοῦ σχολείου.

Ἐὰν εἶναι λοιπὸν ἀνάγκη μεταρρυθμίσεων τινὸς ἐκπαιδευτικοῦ καταστήματος, αὕτη εἶναι τὰ μάλιστα κατεπείγουσα διὰ τὰ ἀλληλοδιδακτικά. Εἰς τὰς μεταρρυθμίσεις αὐτῶν ἂς λάβωμεν ὁδηγὸν τὰ ἀρχαῖα ἡμῶν δημοτικὰ σχολεῖα· οὕτω δὲν ἔχομεν νὰ φοβώμεθα καὶ τοὺς κινδύνους τῆς μιμήσεως ξένων διοργανισμῶν. Ὅθεν ἂς ὁρισθῶσιν ἐν πρώτοις, ὡς εἰς ἐκεῖνα, τὰ ὅρια τῆς διδασκαλίας, ἤτοι τί μέρος τῆς ὅλης παρ' ἡμῖν παιδείας πρέπει νὰ διδάσκηται ἐν αὐτοῖς. Διότι ἐπειδὴ τὰ τρία ὁμοῦ ἐκπαιδευτικὰ καταστήματα, ἀλληλοδιδακτικὸν, σχολεῖον καὶ γυμνάσιον, παρέχουσιν εἰς τὸν λαὸν τὴν ὅλην παιδείαν παρ' ἡμῖν, καὶ τὸ ἀλληλοδιδακτικὸν δίδει τὴν βάσιν ταύτης, πρέπει νὰ ὁρισθῇ τὸ σύνορον τῆς ἐν τῷ τελευταίῳ διδασκαλίας,

λαμβάνοντες τὸ μέτρον ἀπὸ τῆς χρείας τῆς τάξεως τῆς κοινωνίας, ἥτις δὲν δύναται παρὰ εἰς τοῦτο μόνον, τὸ ἀλληλοδιδακτικόν, νὰ φοιτήσῃ· λέγω ὅτι τὸ μέτρον τῶν γνώσεων τῶν ἐν τῷ ἀλληλοδιδακτικῷ πρέπει νὰ ὁρίσουν αἱ κατεπείγουσαι χρεῖαι καὶ ἡ οἰκονομικὴ κατάστασις τῆς τρίτης τάξεως, οὐχὶ ἡ εὐφυΐα αὐτῆς καὶ ἡ ὄρεξις. Διότι ἂν ταῦτα λάβωμεν ὁδηγὸν πρὸς τοῦτο, ἐπειδὴ οὔτε ἡ εὐφυΐα λείπει ἀπὸ κἀμμίαν κοινωνίαν ἢ ἔθνος, καὶ ἡ ὄρεξις εὔκολα ἐξεγείρεται, τότε θὰ δώκωμεν τὴν αὐτὴν ἐντολὴν εἰς τὸ ἀλληλοδιδακτικόν, ἂν καὶ εἰς τὸ γυμνάσιον, ἤτοι μὲ ἄλλους λόγους, πρέπει νὰ ἀφήκωμεν αὐτὰ ὡς βαθμίδας ἑνὸς καὶ τοῦ αὐτοῦ καταστήματος, ὅπως ἔχουσι.

Καὶ ἀληθῶς τινες ἐξ ἡμῶν ἔχουν τὴν *πατριωτικὴν ἰδέαν*, ὅτι πάντες οἱ γεννηθέντες καὶ ἐγκαταστημένοι ὡς Ἰωαννῖται πρέπει νὰ τελειώνουν καὶ τὰ μαθήματα τοῦ γυμνασίου τοὐλάχιστον, καὶ τοῦτο θεωρῶ ἐγγύτερον λόγον τῆς τοιαύτης καταστάσεως τῆς δημοτικῆς παιδείας. Ἀλλ' ἀνέφικτα διώκοντες δὲν φθάνομεν οὐδὲ τὸ ἐφικτόν, καὶ παθαίνομεν ὅ,τι παθαίνει ὁ ζητῶν πράγματα παρὰ τοὺς νόμους τῆς φύσεως καὶ τῆς κοινωνίας, καὶ τὴν ἀπόδειξιν τούτου παρέχει τὸ Μητρῷον τῆς Ζωσιμαίας σχολῆς. Διότι ἐξ ἰδίων μέσων νὰ σπουδάσουν πάντες κατὰ τὴν εὐσεβῆ ἐπιθυμίαν τῶν σφόδρα ζηλωτῶν τῆς στενῆς πατρίδος εἶναι ἀδύνατον· διὰ τῆς ὑποστηρίξεως ἐκ τοῦ ταμείου τῶν ἐλεῶν καὶ τῶν Μοναστηρίων; ἂν τὸ διαφιλονεικήσω ἐδῶ, θὰ μᾶς παρασύρῃ ὁ λόγος πολὺ μακρὰν ἀπὸ τὸ ἄμεσον ἀντικείμενον τῆς σειρᾶς τῆς ὁμιλίας. Ἂς παραδεχθῶμεν λοιπὸν τὸ δυνατόν, καὶ ἂς μεταφέρωμεν ἑαυτοὺς εἰς τὴν ἐπιθυμητὴν ἐποχήν, ὅτε τὰ παιδιὰ τῶν Ἰωαννιτῶν εἶναι ὅλοι *λογιώτατοι* καὶ μὲ ἐνδεικτήριον τοῦ βαθμοῦ *κάλλιστα* ἀκόμα. Κύριοι, ἐξεύρετε τότε τί θὰ γείνῃ; Θὰ κλείσουν ὅλα τὰ ἐργαστήρια εἰς τὸ *μπαζίρι*. Διότι ποῖος διαμορφωθεὶς ἐν κλασικῇ παιδείᾳ, ἐμφορηθεὶς τοῦ εὐγενοῦς πνεύματος τῆς ἑλληνικῆς φιλο-

σοφίας, μαθὼν τοὺς νόμους τῆς φύσεως, τοὺς νόμους τῶν ἐξωτερικῶν δυνάμεων τοῦ ἀνθρώπου θὰ καταδεχθῇ νὰ γείνῃ ἡ *σαράτσης* πλέον καὶ *παπουτσῆς*, ἢ νὰ κάθηται νὰ μετρᾷ μὲ τὴν πῆχυν καὶ νὰ ἔχῃ νὰ κάμῃ μὲ χωριάταις; Ὅλα ταῦτα καὶ τὰ ὅμοια θὰ τὰ εὑρίσκουν ἐπαγγέλματα βάναυσα καὶ ἀνάξια ἑαυτῶν. Καὶ εἰς τί θὰ ἀποβλέψουν; λόγον ἐν πρώτοις τῆς διαχειρίσεως τῶν δημοσίων χρημάτων θὰ ζητοῦν, φωνάζοντες ἀρνισθῆκαν τὰ πράγματα τῆς πόλεως, διότι οἱ διαχειριζόμενοι ταῦτα δὲν ἔχουν τὴν ἀρετὴν, δὲν ἔχουν τὴν ἱκανότητα νὰ διοικοῦν, καὶ θὰ ἀξιῶσι τίποτε ὀλιγώτερον παρὰ νὰ γείνουν ἄλλοι *ἔφοροι* καὶ ἄλλοι *ἐπίτροποι*· ἢ ἂν τοῦτο προληφθῇ, θὰ μεταναστεύσουν εἰς ξένην γῆν, ἵνα ζήσωσιν ἀξίως τῆς ἀνατροφῆς καὶ τῆς παιδείας των. Τρίτον τι ἐγὼ δὲν βλέπω· ἢ τὸ πρῶτον ἢ τὸ δεύτερον ἢ, ἂν θέλετε, καὶ τὰ δύο συνάμα, διότι τὸ ἓν δὲν ἀποκλείει τὸ ἕτερον. Ἀλλ' ἀκούσατε τί λέγει περὶ τοῦ πρώτου ὁ καρδινάλιος Richelieu. «Ainsi qu' un corps qui aurait des yeux en toutes ses parties, serait monstrueux, de même un Etât le serait-il, si tous ses sujets étaient savans. Le commerce des lettres bannirait absolument celui de la marchandise qui comble les Etâts de richesses; il ruinirait l' agriculture vraie mère nourrice des peuples . . . Enfin il remplirait la France de chicaneurs, plus propres à ruiner les familles particulières et à troubler le repos public qu' à procurer aucun bien aux Etâts. Si les lettres étaient profanées à toutes sortes d' ésprits, on verrait plus des gens capables de former des doutes que de les résoudre, et beaucoup serait plus propres à s' opposer aux vérités qu' à les defendre.

ΜΕΤΑΦΡΑΖΩ.

« Καθὼς θὰ ἦταν τέρας ἕνα σῶμα, ἐὰν εἶχε πανταχοῦ ὀφθαλμούς, οὕτω καὶ πόλις θὰ ἦταν τὸ ἴδιον, ἐὰν πάντες οἱ ὑπήκοοι αὐτῆς ἦταν σοφοί. Τὰ γράμματα θὰ ἐξώριζαν παντελῶς

τό ἐμπόριον, τὴν πηγὴν τοῦ πλούτου εἰς τὸ κράτος, θὰ κατέστρεφαν τὴν γεωργίαν, τὴν μητέρα καὶ τροφὸν τοῦ λαοῦ, καὶ τέλος θὰ ἐγιόμιζαν τὴν Γαλλίαν μὲ ῥαδιούργους στρεψοδίκας, ἱκανοὺς μᾶλλον νὰ ἀνατρέψουν οἰκογενείας καὶ νὰ ταράξουν τὴν κοινὴν ἡσυχίαν, παρὰ νὰ ὠφελήσουν τίποτε τὸ κράτος. Ἐὰν τὰ γράμματα ἐβεβηλοῦντο κατ' αὐτὸν τὸν τρόπον, θὰ ἐβλέπαμεν ἀνθρώπους μᾶλλον ἐπιτηδείους νὰ ἐγείρουν ἀμφιβολίας παρὰ νὰ τὰς λύωσι, καὶ ἁρμοδιωτέρους νὰ πολεμῶσι παρὰ νὰ ὑπερασπίζωνται τὴν ἀλήθειαν.»

Ἂν δὲ θὰ συμβαίνῃ τὸ δεύτερον μόνον, καὶ θὰ μεταναζεύωσιν οἱ νέοι Ἰωαννῖται, τότε, ἂν εἴπῃ τις, ὅτι τὰ σχολεῖά μας ἔχουσι τὸν σκοπὸν νὰ ἐρημώνουν τὴν πόλιν τῶν κατοίκων της, δὲν θὰ ἔλεγέ τι μακρὰν τῆς ἀληθείας. Ἂν κἀνένας δὲν ἀρνεῖται, ὅτι ἔχομεν ἀνάγκην χρηστῶν καὶ τιμίων πολιτῶν, ἂς καταρτίσωμεν τὰ σχολεῖά μας οὕτως, ὥστε πᾶσα τάξις νὰ μεταλαμβάνῃ τῆς ὠφελείας αὐτῶν ἀποκτῶσα τὰς ἀναγκαίας αὐτῇ γνώσεις, κοινωνιακάς, θρησκευτικὰς καὶ ἠθικάς, καὶ ἂς ἴδωμεν, ἂν εἶναι δυνατὸν νὰ ἀσκήσωμεν τὴν νεότητα εἰς τὰ παραγγέλματα τῆς θρησκείας καὶ ἠθικῆς· διότι αἱ γνώσεις μόναι καὶ ἡ διδασκαλία δὲν ἀρκοῦν· ἡ καλὴ θέλησις καὶ ὁ χαρακτὴρ ἀποκτῶνται διὰ τῆς ἀσκήσεως.

Διὰ νὰ ὁρίσωμεν λοιπὸν μέχρι τίνος πρέπει νὰ προβαίνῃ ἡ ἐν τοῖς ἀλληλοδιδακτικοῖς διδασκαλία, ἔχομεν νὰ λάβωμεν τὴν τρίτην τάξιν τῶν κατοίκων ὑπ' ὄψιν, καὶ νὰ εὕρωμεν ταύτας γνώσεις εἶναι ἀναγκαιότεραι εἰς αὐτήν. Καὶ πρῶτον ἐγὼ κρίνω ἀναγκαιότατον οἱ ἐν αὐτοῖς διδαχθέντες νέοι ἐξερχόμενοι νὰ ἐξεύρουν νὰ ἀναγινώσκουν ἄνευ δυσκολίας καὶ νὰ ἐννοοῦν ἀκόμα τὴν δημοτικὴν γραπτὴν γλῶσσαν, ὥστε νὰ *γινώσκωσιν ἃ ἀναγινώσκουσι*· δεύτερον νὰ ἀποκτῶσιν εὐχέρειάν τινα νὰ γράφωσι καὶ νὰ λογαριάζουν. Ταῦτα εἶναι ἡ βάσις πάσης *δημοτικῆς ἐκπαιδεύσεως*.

« Μηνὰ δὲν διδάσκονται τὰ ἴδια ; λέγει τις τώρα καθ' ἑ-

